76 Αἰθίοπα σμήχων: Ἐπὶ τῶν μάτην καὶ ἀνηνύτων. Ὁμοία τῇ Χύτραν ποικίλλεις.

77 Αἰσώπειον αἷμα: Ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων. Ἐπειδὴ τοῖς ἀδίκως τὸν Αἴσωπον ἀνελοῦσιν ὠργίσθη τὸ δαιμόνιον, καὶ διὰ τοῦτο τὴν Πυθίαν ἱλάσκεσθαι ἐπὶ τὸ F Αἰσώπου μύσος. Οὕτω δὲ θεοφιλὴς ἐγένετο ὁ Αἴσωπος, ὡς μυ-

67. Zen. I. 39.
[z] ἐρίσσειν Zen.
68. Zen. I. 40.
69. Zen. I. 41.
70. Zen. I. 42.
71. Zen. I. 43.
72. Similiter Hesychius.
73. Zen. I. 44.
74. Vid. Schol. Aristid. p. 498.
75. Ἀνίπτοις χερσίν] Interciderunt, ni fallor, Ἐπὶ τῶν βεβήλοις χερσὶ τοῖς ἱεροῖς ἐγχειρούντων. Ἄειδε τὰ Τέλληνος. Vid. Zenob. I. 45. II. 15. Diogen. I. 43.
76. Zen. I. 46.
77. Zen. I. 47.

θεύεσθαι αὐτὸν ἀναβιῶναι, ὡς Τυνδάρεων καὶ Ἡρακλῆν καὶ Γλαῦκον. A

78 Αἰγαῖαν ἐμβολήν: Ἐπὶ τῶν εὐτελῶν φορτίων.

79 Αἰγιεῖς οὔτε τρίτοι οὔτε τέταρτοι: Ἐπὶ τῶν εὐτελῶν καὶ μηδενὸς ἀξίων. Οἱ γὰρ Αἰγιεῖς νικήσαντες Αἰτωλοὺς τὴν Πυθίαν ἐξηρώτων τίνες εἰσὶ κρείττονες τῶν Ἑλλήνων· ἡ δὲ εἶπεν, Ὑμεῖς δ' Αἰγιεῖς οὔτε τρίτοι οὔτε τέταρτοι. Τινὲς δέ φασιν ἐπὶ Μεγαρέων λεχθῆναι. B

80 Ἄκαιρος εὔνοια οὐδὲν ἔχθρας διαφέρει: Ταύτην φασὶν Ἱππόλυτον εἰπεῖν πρὸς Φαίδραν φάσκουσαν φιλεῖν αὐτὸν καὶ στέργειν παρὰ πάντας ἀνθρώπους. C

81 Ἀκάνθιος τέττιξ: Ἐπὶ τῶν ἀφανῶν καὶ μάλιστα ἀμούσων, παρ' ὅσον οἱ Ἀκάνθιοι τέττιγες οὐκ ᾄδουσιν. Ὅθεν ἐρεῖς καὶ ἀμοτσότερος Ἀκανθίοτ τέττιγος.

82 Ἀκεσίας ἴασατο: Ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων. Ὅλην δὲ Ἀριστοφάνης ἐν τετραμέτροις τὴν παροιμίαν ἐκφέρει, D

Ἀκεσίας τὸν πρωκτὸν ἰάσατο,

λέγων.

83 Ἀκκώ: Ἐπὶ τῶν μωραινόντων. Γέγονεν γὰρ ἡ Ἀκκὼ γυνὴ ἐπὶ μωρίᾳ διαβαλλομένη, ἀφ' οὗ καὶ τὸ Ἀκκίζεσθαι ἤτοι θρύπτεσθαι.

84 Ἄκοτε τοῦ τέτταρα ὦτα ἔχοντος: Ἡ παροιμία παραγγέλλει τῶν ἀληθευόντων ἀκούειν· οὐδεὶς γὰρ ἀψευδέστερος τοῦ Ἀπόλλωνος, ὃν τετράχειρα καὶ τετράωτον ἱδρύσαντο Λακεδαιμόνιοι, ὥς φησι Σωσίβιος, ὅτι τοιοῦτος ἐφάνη τοῖς περὶ Ἀμύκλας. E

85 Ἀκίνητα κινεῖς:

86 Ἀκεσέως καὶ Ἐλικῶνος ἔργα: Ἐπὶ τῶν θαύματος ἀξίων. Οὗτοι γὰρ πρῶτοι τῆς Παλλάδος Ἀθηνᾶς πέπλον ἐδημιούργησαν. Ἦν δὲ ὁ μὲν Ἀκεσεὺς γένος Παταρῶν, ὁ δὲ Ἐλικὼν Καρύστιος. F

87 Ἄκρον λάβε καὶ μέσον ἔξεις: Ἐπὶ τῶν δυσφορωτάτων καὶ δυσνοήτων.

78. F. corrupte pro Αἰγιναίαν ἐμπολήν.
79. Zen. I. 48.
80. Zen. I. 50.
81. Zen. I. 51. ubi ἀφώνων.
82. Zen. I. 52.
83. Zen. I. 53.
84. Zen. I. 54.
85. Zen. I. 55.
86. Zen. I. 56.
87. Zen. I. 57.

88 Ἀκόνην σιτίζεις: Ἐπὶ τῶν τροφῇ πολλῇ χρωμένων, καὶ μηδὲν εἰς τὸ σῶμα ἐπιδιδόντων. A

89 Ἀκέφαλος μῦθος: Ἐπὶ τῶν ἀτελῆ λεγόντων. Μέμνηται ταύτης Πλάτων, "μῦθον ἀκέφαλον," εἰπών, "καταλίποιμι."

90 Ἄκρῳι ἅψασθαι δακτύλῳι: Ἐπὶ τῶν οὐκ ἀκριβῶς ἠσκημένων· οἷον, B

Οὐδὲ κατὰ τὴν παροιμίαν ἄκρῳ ἁψάμενος δακτύλῳ ἠπίστατο.

91 Ἄλας καὶ τράπεζαν μὴ παραβαίνειν: Ἐπειδὴ τοῖς κοινωνήσασι τούτων φίλοις χρῆσθαι δεῖ.

92 Ἄλμη οὐκ ἔνεστιν αὐτῷι: Ἐπὶ τοῦ γλυκέος καὶ ἀηδοῦς κατ' εἰρώνειαν εἴρηται. C

93 Ἄλλοι κάμον, ἄλλοι ὤναντο: Ἐπὶ τῶν παρ' ἐλπίδα κληρονομησάντων.

94 Ἀλλ' οὐδὲν δεῖ παρὰ τὸν νοῦν τὰς ἐπινοίας: Ὅτι μὴ χρὴ ἐν αὐτοῖς τοῖς πράγμασι βουλεύεσθαι, ἀλλὰ πρὸ τῶν πραγμάτων· παρ' ὅσον καὶ οἱ τὰ ἱερεῖα προσάγοντες οὐ μετὰ τὸ καλλιερῆσαι βουλεύονται. D

95 Ἀλλ' οὐκ αὖθις ἁλώσῃι: Λείπει τὸ ἁλώσιμος· ἅπαξ γὰρ διαφυγοῦσα δεύτερον οὐχ ἁλώσεται. Ἐπὶ τῶν πονηρίαν καὶ συκοφαντίαν ἐκφυγόντων.

96 Ἀλεκτρτόνων μέμφεσθαι κοιλίαν: Ἐπὶ τῶν περὶ τὸν βίον ἀβροδιαίτων. E

97 Ἄλλο γλαῦξ ἄλλο κορώνη θοέγγεται: Ἐπὶ τῶν τοῖς κρείττοσιν ἐριζόντων· ἢ τῶν ἀλλήλοις μὴ συμφωνούντων.

98 Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα: Ἐπὶ τῶν ἐξαπατᾶν ἐπιχειρούντων τοὺς ὁμοίους. F

99 Ἀλώπηξ οὐ δωροδοκεῖται: Ἐπὶ τῶν οὐ ῥᾳδίως ἁλισκομένων δώροις.

100 Ἄλλως ἄιδεις: Ἐπὶ τῶν μάτην πονούντων.

88. Zen. I. 58.
89. Zen. I. 59.
90. Zen. I. 61.
91. Zen. I. 62.
92. Zen. I. 63.
93. Zen. I. 65.
94. Zen. I. 66.
95. Zen. I. 67.
96. Zen. I. 68.
97. Zen. I. 69.
98. Zen. I. 70.
99. Zen. I. 71.
100. Zen. I. 72.

101 Ἄλλοισι μὲν γλῶσσα ἄλλοισι δὲ γομφίοι: Οἱ μὲν γὰρ λαλοὶ, οἱ δὲ φάγοι. A

102 Ἄλλα μὲν Λεύκωνος ὄνος, ἄλλα δὲ Λεύκων φέρει: Ἐπὶ τῶν ἀσυμφώνως τοὺς λόγους τοῖς ἔργοις παρεχομένων. Λεύκων γάρ τις γεωργὸς μέλιτος ἀσκοὺς εἰς φορμὸν ἐμβαλὼν ἐκόμιζεν Ἀθήναζε, κριθὰς τοῖς φορμοῖς ἐμβαλών, ὡς ἀπὸ κριθῶν ὀλίγον B εἰσπραχθησόμενος τέλος. Τοῦ δ' ὄνου πεσόντος, οἱ τελῶναι βοηθῆσαι βουλόμενοι, ἔμαθον ὅτι μέλι ἐστὶ, καὶ ἀπηνέγκαντο αὐτὸ ὡς ἀτελώνητον.

103 Ἄλλην μὲν ἐξαντλοῦμεν, ἡ δ' ἐπεισρέει: Ἐπὶ τῶν πονούντων καὶ πλέον οὐδὲν ἀνυόντων. C

104 Ἀμεινόνων οἰωνῶν τυχεῖν: Ἐπὶ τῶν ἐκ κακῶν εἰς ἀγαθὸν μεταβαινόντων.

105 Ἄμ' ἔπος ἄμ' ἔργον: Ἐπὶ τῶν ταχέως καὶ ὀξέως ἀνυομένων.

106 [Ἄργος γωνία:] Ἐπὶ τῶν ἀργῶς καὶ ῥαθύμως καθημένων. D Ἔστι δὲ . . . . γωνία.

107 Ἀμοτσότερος Λειβηθρίων: Ἐπὶ τῶν ἀμούσων καὶ ἀπαιδεύτων. Λειβήθριοι γὰρ ἔθνος Πιερικὸν ἀμουσότατον, ἐν ᾧ καὶ τοῦ Ὀρφέως φασὶ γενέσθαι τὸν θάνατον.

108 Ἄμμον μετρεῖν: Ἐπὶ τῶν ἀδυνάτων. E

109 Ἄμ' ἡλέηται καὶ τέθνηκεν ἡ χάρις: Ἐπὶ τῶν εὐεργετουμένων καὶ παραχρῆμα τῆς χάριτος ἐπιλανθανομένων.

110 Ἅμας ἀπήιτοτν, οἱ δ' ἀπηρνοῦντο σκαφάς: Ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτουμένων, ἄλλα δὲ μὴ ἔχειν ἀρνουμένων.

111 Ἂν μὴ παρῇ κρέας τάριχος στερκτέον: Ὑποθετικόν. F Παρεγγύα γὰρ ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.

112 Ἀνάγκηι οὐδὲ θεοὶ μάχονται:

113 Ἀνδραποδώδης θρίξ: Ἐπὶ τῶν ἠλιθίων. Πλάτων· Ἔχων τὰς ἀνδραποδώδεις ἐπὶ τῆς ψυχῆς τρίχας ὑπὸ τῆς ἀμουσίας.

101. Zen. I. 73.
102. Zen. I. 74.
103. Zen. I. 75.
104. Zen. I. 76.
105. Zen. I. 77.
106. Vix legenda in B. Vid. Zen. I. 78.
107. Zen. I. 79.
108. Zen. I. 80.
109. Zen. I. 81.
110. Zen. I. 83.
111. Zen. I. 84.
112. Zen. I. 85.
113. Diog. I. 73.

114 Ἀνὴρ δὲ φεύγων οὐ μένει λίθας κτύπον: Ἐπὶ τῶν τα- A
χέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα.

115 Ἀνδρὶ Λυδῷ πράγματ' οὐκ ἦν, ἀλλ' αὐτὸς ἐλθὼν ἐπρίατο: Ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων· παρ' ὅσον ὁ Κροῖσος ἑαυτῷ πολέμιον ἐπεσπάσατο Κῦρον.

116 Ἀντὶ πέρκης σκορπίον: Ἐπὶ τῶν τὰ χείρω αἱρουμένων B
τῶν βελτιόνων.

117 Ἀνεῳγμέναι μοτσῶν θύραι: Ἐπὶ τῶν ἐξ ἑτοίμου λαμβα-
νόντων τὰ κάλλιστα ἐν τῇ παιδείᾳ.

118 Ἀνδρὸς γέροντος αἱ γνάθοι βακτηρίαι: Ἐπὶ τῶν πρὸς τὸ
γῆρας πολλὰ ἐσθιόντων. C

119 Ἀνδρὸς κακῶς πράττοντος ἐκποδὼν φίλοι: Ἐπὶ τῶν ἐν
κακοῖς παρεωρωμένων ὑπὸ τῶν πάλαι φίλων.

120 Ἄνθρωπος ἀνθρώπῳ δαιμόνιον: Ἐπὶ τῶν ἀπροσδοκήτως
ὑπό τινων σωζομένων, ἢ καὶ διά τινων εὐδαιμονούντων.

121 Ἂν οἶνον αἰτῇ κόνδυλον αὐτῷ δίδου: Ἐπὶ τῶν ἀγαθὰ D
μὲν αἰτούντων, δεινὰ δὲ λαμβανόντων. Ἡ δὲ ἱστορία ἀπὸ τοῦ
Κύκλωπος αἰτήσαντος οἶνον τὸν Ὀδυσσέα, καὶ στερηθέντος τοὺς
ὀφθαλμούς.

122 Ἀνέμου πεδίον: Ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.

123 Ἀντιπελαργεῖν: Ἐπὶ τῶν τὰς χάριτας ἀποδιδόντων. Λέγε- E
ται γὰρ τρέφειν τοὺς πελαργοὺς γηράσαντας τοὺς γονεῖς.

124 Ἀνίπποις ποσὶν ἀναβαίνειν ἐπὶ τὸ στέγος: Ἐπὶ τῶν
ἀμαθῶς ἐπί τινα ἔργα καὶ πράξεις ἀφικνουμένων.

125 Ἀνδρὸς γέροντος ἅσταφὶς τὸ κρανίον: Ἐπὶ τῶν εἰς μη-
δὲν χρησιμευόντων· τὸ γὰρ σῶμα τῶν γερόντων ἀσθενές. F

126 Ἀνταεῖν ἀμφοτέραις: Λείπει τὸ χερσίν. Ἐπὶ τῶν μετὰ
σπουδῆς τι ποιούντων.

127 Ἀνέμοις γεωργεῖς: Πρὸς τοὺς πονοῦντας καὶ μηδενὸς

114. Zen. I. 86.
115. Zen. I. 87.
116. Zen. I. 88.
117. Zen. I. 89.
118. Diog. I. 78.
119. Zen. I. 90.
120. Zen. I. 91.
121. Zen. I. 92.
122. Diog. I. 82.
123. Zen. I. 94.
124. Zen. I. 95.
125. Zen. I. 96.
126. Zen. I. 98.
127. Zen. I. 99.

μεταλαγχάνοντας, ἐπειδὴ καὶ ὁ ἄνεμος πάντα μὲν φύει καὶ αὔξει, A
οὐδενὸς δὲ μεταλαγχάνει ἢ μόνης ἄχνης.

128 Ἀντὶ κακοῦ κτηνὸς ἦν ἀπαιτεῖς: Ἐπὶ τῶν κακὰ ἀντὶ τῶν κακῶν ἀποδιδόντων.

129 Ἄνθρακες ὁ θησαυρὸς ἀναπέφηνεν: Ἐπὶ τῶν διαψευσθέντων ἐφ' οἷς ἤλπισαν. Μέμνηται αὐτῆς Λουκιανός· B

Τὸ γοῦν τῶ λόγου [a]ἐκεῖνο ἄνθρακες ἡμῖν ὁ θησαυρὸς πέφηνε.

Καὶ πάλιν·

Ἀνθρακάς μου τὸν θησαυρὸν ἀπέφηνας.

130 Ἄξιος τοῦ παντός: Ἐπὶ τῶν σφόδρα τιμίων.

131 Ἄξιος εἶ τῆς ἐν Ἄργει ἀσπίδος: Ἐπὶ τῶν αἰδημόνων καὶ C
εὐγενῶν. Ἐπειδὴ καὶ οἱ ἐν Ἄργει φέριστοι παῖδες καὶ καθαροὶ
ἀπό τινος νομίμου τὰς ἀσπίδας φοροῦντες πομπεύουσιν.

132 Ἄξιοι τριχός: Ἐπὶ τῶν εὐτελῶν καὶ μηδενὸς ἀξίων· τοῦτο
γὰρ καὶ ἡ θρίξ.

133 Ἀπὸ βραδυτέλων ἵππων ὄνος ὄροτσεν: Ἐπὶ τῶν ἀπὸ D
τῶν εὐτελῶν ἐπὶ τὰ μείζω πηδώντων.

134 Ἄπληστος πίθος: Ἐπὶ τῶν γαστριμάργων. Μετενήνεκται
δὲ ἀπὸ τοῦ πίθου τῶν Δαναΐδων.

135 Ἀπὸ Ἵππων ἐπ' ὄνοτς: Ἐπὶ τῶν ἀπὸ σεμνῶν εἰς εὐτελῆ
μεταβαινόντων, οἷον ἀπὸ γραμματικῆς εἰς χαλκευτικήν. E

136 Ἀπὸ βαλβῖδος: Ἤτοι ἀπ' ἀρχῆς.

137 Ἀπάντησε κερατνοῦ βολὴ πρὸς ὑπέρτατον ἅταν: Ἐπὶ
τῶν ἄξια πασχόντων ὧν ἔδρασαν.

138 Ἅπαντα τοῖς σοφοῖς οὐκ εὔκολα: Ἐπὶ τῶν διὰ φρονήσεως
καὶ τῶν δυσκόλων περιγινομένων. F

139 Ἅπερ τὴν γλαῦκα θηρᾶν: Ἐπὶ τῶν εὐτελές τι ζητούντων·
παρ' ὅσον ἡ γλαὺξ μικρὰ καὶ γλίσχρα θηρᾷ.

140 Ἀπὸ [b]Ναννάκου: Ἐπὶ τῶν σφόδρα παλαιῶν καὶ ἀρχαίων.

128. Zen. I. 100.
129. Zen. II. 1.
[a] ἐκείνου B.
130. Zen. II. 2.
131. Zen. II. 3.
132. Zen. II. 4.
133. Zen. II. 5.
134. Zen. II. 6.
135. v. Suid.
136. Zen. II. 7.
137. Zen. II. 8.
138. Zen. II. 9.
139.
140. Vat. I. 10.
[b] Νανάκου A. B.

Νάννακον γὰρ παλαιὸν καὶ ἀρχαῖον βασιλέα γενέσθαι Φρυγῶν ἐν A
Πισινοῦντι, καὶ ἔθη αὐτοῖς καταστήσασθαι· καὶ ταῦτα λέγειν αὐ-
τοὺς Τὰ ἀπὸ Ναννάκοτ.

141 Ἁπλοῦν θύλακον πάτει: Ἐπὶ τῶν εὐκαταφρονήτων.

142 Ἀττικὸς εἰς λιμένα: Ἐπὶ τῶν ἐπιδεικνυμένων. Οἱ γὰρ
Ἀττικοὶ ναῦται ὁπότε καταπλέοιεν ἐπιδεικνύμενοι τοῖς οἰκείοις B
προθυμότερον ἤλαυνον.

143 Ἀντ' εὐεργεσίης Ἀγαμέμνονα δῆσαν Ἀχαιοί: Αὕτη
κατὰ τῶν ἀχαρίστων λέγεται· πεποίηται δὲ ὑπὸ Μέσωνος τοῦ
Μεγαρέως.

144 Ἀλύνητον ἀνδράποδον: Ἴσον τὸ εὐτελές. Οἱ γὰρ ἔμποροι C
εἰς τὴν μεσόγειον ἀναβαίνοντες ἅλας ἐκόμιζον, ἄνθ' ὧν τοὺς οἰκέ-
τας. Ὅθεν καὶ ὁ Κωμικὸς,

Θρῇξ εὐγενὴς εἴ πρὸς ἅλας ἠγορασμένος.

145 Αἱ Χάρητος ὑποσχέσεις: Ἐπὶ τῶν προχείρως ἐπαγγελλο-
μένων. Χάρης γὰρ στρατηγὸς Ἀθηναίων προχείρως πολλὰ ἐπαγ- D
γελλόμενος.

146 Ἀργυρᾶν λιμόν: Τοῖς ἀπειθοῦσιν ὁ Ἀπόλλων ἠπείλησε πολ-
λάκις ἀργυρᾶν λιμὸν ἀποπέμπειν, ὡς μέλλουσιν ἀργυρίου σῖτον
ὠνήσεσθαι.

147 Ἁλιεῖ πληγεὶς νοῦν οἴσει: Αὕτη παραπλήσιός ἐστι τῇ E
Παθὼν δέ τε νήπιος ἔγνω. Ἁλιεὺς γάρ, ὥς φασι, τοὺς ἁλισκο-
μένους ἰχθῦς ἀφυλάκτως μεταχειριζόμενος ἐπλήγη ὑπὸ σκορπίου.
Ἔφη τοίνυν νοῦν οἴσω.

148 Ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ: Ταύτης μέμνηται Μέναν-
δρος καὶ Ἄλεξις. Λέγεται δὲ ὅτι Λοκροὶ Ἐπιζεφύριοι πόλεμον F
πρὸς Κροτωνιάτας ἔχον, καὶ ἔπεμψαν πρὸς Λακεδαίμονα συμμα-
χίας δεόμενοι. Οἱ δὲ ἀπείπαντο μὲν συμμαχίαν δώσειν, πέμψειν δὲ
τοὺς Διὸς κούρους αὐτοῖς βοηθοὺς ὑπέσχοντο. Μάχης οὖν γενομέ-
νης ἐνίκησαν οἱ Λοκροὶ τῶν Διὸς κούρων συλλαβομένων. Μηδενὸς
δὲ ἀπαγγείλαντος τὴν νίκην εἰς Λακεδαίμονα ἡ φήμη ταύτην τῇ G

141.
142. Zen. II. 10.
143. Zen. II. 11.
144. Zen. II. 12.
145. Zen. II. 13.
146.
147. Zen. II. 14.
148. Zen. II. 17.

ἐν ᾗ γέγονεν ἡμέρᾳ διήγγειλεν. Εἴρηται γοῦν ἡ παροιμία ἐπὶ τῶν A
πάνυ ἀληθῶν. Σάγρα δέ ἐστι τόπος ἐν ᾧ τὰ τῆς νίκης γέγονεν.

149 Αἶξ Σκτρία: Ταύτην εἰρῆσθαι Χρύσιππός φησιν ἐπὶ τῶν τὰς
εὐεργεσίας ἀνατρεπόντων, ἐπειδὴ καὶ ἡ αἶξ πολλάκις ἀνατρέπει
ἀγγεῖα. Ἄλλοι δέ φασιν ἐπὶ τῶν ὀνησιφόρων λέγεσθαι διὰ τὸ
τὰς Σκυρίας αἶγας πολὺ γάλα φέρειν. B

150 Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴενται:

151 Ἀλῶν δὲ φόρτος ἔνθεν ἦλθεν ἔνθ' ἔβη: Ἐμπόρων τινῶν
καθευδησάντων εἰς τὴν ναῦν θάλασσα εἰσελθοῦσα τοὺς ἅλας
ἔτηξεν. Ἔνθεν ἡ παροιμία.

152 Ἀ φιλοχρηματία Σπάρταν ἔλοι, ἄλλο δὲ οὐδέν: Αὕτη C
λέγεται ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν προαιρουμένων. Γέγονε δὲ
ἀπὸ χρησμοῦ δοθέντος Λακεδαιμονίοις, λέγοντος, ἀπολέσθαι Λακε-
δαιμονίους ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσιν.

153 Ἀθηνᾶ τὸν αἴλουρον: Ἐπὶ τῶν κακῶς συγκρινόντων καὶ διὰ
μικρὰν ὁμοιότητα. Ὡς εἴ τις διὰ γλαυκότητα τοῦ αἰλούρου τοῦτον D
τῇ Ἀθηνᾷ παραβάλοι.

154 Ἀττικοὶ τὰ Ἐλευσίνια: Λείπει τὸ καθ' ἑαυτῶν. Λέγεται δὲ
ἐπὶ τῶν καθ' ἑαυ . . . τι πραττόντων.

155 Ἀττῶι κανῶι: Κατὰ τῶν ἄρδην ὁτιοῦν λυμαινομένων· ἐπὶ
γὰρ κανῶν τὰ δεῖπνα ἐκομίζετο. Πλάτων· E
Ἀνηρπάκασ' ἅναξ ἅπαντ' αὐτῷ κανῷ.

156 Ἀφὰς πῦρ: Ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων· παρ' ὅσον καὶ
ἡ ἀφὺα τάχιστα ἕψεται.

157 Ἀτρέως ὄμματα: Οἱονεὶ ἄτρεπτα καὶ σκληρά· ἀπὸ τῆς
Ἀτρέως παρανομίας, ὃς ὑπονοήσας τὸν ἀδελφὸν Θυέστην μοιχεύειν F
Ἀερόπην τὴν γυναῖκα αὐτοῦ, τὰ τέκνα τοῦ Θυέστου συγκόψας
παρέθηκεν αὐτῷ δειπνοῦντι, τελευταῖα τὰ ἄκρα παραθεὶς, ὥστε
αἴσθησιν αὐτῷ δοῦναι τοῦ μύσους.

158 Ἄννας κρίβανος: Ἄνναν Αἰγυπτίαν φασὶν ἐπινενοηκέναι τὸν
κρίβανον εἰς τὴν τῶν ἄρτων ὄπτησιν. Ἀφ' ἧς ἡ παροιμία. G

149. Zen. II. 18.
150. Zen. II. 19.
151. Zen. II. 20.
152. Zen. II. 24.
153. Zen. II. 25.
154. Zen. II. 26.
155. Zen. II. 31.
156. Zen. II. 32.
157. Zen. II. 34.
158. v. Suid. v. Ἄννος.

159 Ἀετὸν κάνθαρος μαιέτεται: Τὰ ὠὰ τοῦ ἀετοῦ ἀφανίζουσιν A
οἱ κάνθαροι, ἐπεὶ οἱ ἀετοὶ τοὺς κανθάρους ἀναλέγουσιν.

160 Αἰάντειος γέλως: Ἐπὶ τῶν παραφρόνως γελώντων.

161 Ἀπὸ ὄνοτ καταπεσών: Οἱ δὲ ἀπὸ νοῦ φασι. Ἀπὸ τοῦ ζώου
συντέτακται ἐπὶ τῶν μείζονων καὶ ἀδυνάτων· ὡς Ἀριστοφάνης,
Ἀπὸ τύμβου πεσών. B

162 Ἀγόμενος διὰ φρατέρων κύων: Ἐπὶ τῶν ὅπου μὴ δεῖ εὑ-
ρισκομένων καὶ διὰ τοῦτο τιμωρουμένων. Καὶ κύων γὰρ εὑρισκόμε-
νος ἐν φράτερσι μαστιγοῦται.

Ἀγάλματα Ἑκάτης:

163 Ἀγνὴ γάμων: Ἐπὶ τῶν σωφρόνων γυναικῶν. Ῥηθείη δ' ἂν C
εἰρωνικῶς καὶ ἐπὶ τῶν μὴ τοιούτων.

164 Ἀγρὸς ἡ πόλις: Ἐπὶ τῶν παρανομούντων. Ἐπίχαρμος·
Ἀγρὸν τὴν πόλιν ποιεῖς.

165 Ἀηδόνες λέσχαις ἐγκαθήμεναι: Ἐπὶ τῶν ἀδολεσχούντων.

166 Ἄθως καλύπτει [c] πλατὰ Λημνίας βοός: Ἐπὶ τῶν τινας D
λυπούντων ἢ βλαπτόντων· ἐπειδὴ τὴν ἐν Λήμνῳ βοῦν λευκοῦ πε-
ποιημένην λίθου ὁ Ἄθως τὸ ὄρος ἐπισκιάζει.

167 Ἀγορὰ Λύκειος: Ἐπὶ τῶν τάχεως πιπρασκομένων.

168 Ἀεὶ Λεοντῖνοι περὶ τοῦς κρατῆρας: Οἱ ἐν Σικελίᾳ Λεον-
τῖνοι περὶ πότους ἐσπουδάκεσαν· Φάλαρις δ' αὐτοὺς καταπολε- E
μήσας ἐκέλευσεν ὠμῶς εἰς τοὺς τῆς Αἴτνης ἀπορριφῆναι κρατῆ-
ρας. Ἀφ' οὗ καὶ ἡ παροιμία.

169 Αἱ Οἰδίποδος ἀραί: Ἐπὶ τῶν μεγάλως δυστυχούντων. Οἱ
γὰρ περὶ Πολυνείκην ἔθος εἶχον τῷ Οἰδιπόδι ἐξ ἑκάστου ἱερείου
ἐξαίρετόν τι πέμπειν γέρας, τὸν ὦμον· ἐκλαβόμενοι δέ ποτε, ἰσχίον F
ἔπεμψαν. Καὶ ὁ Οἰδίπους νομίσας ἠτιμῶσθαι ἄρας κατ' αὐτῶν
ἔθετο τὰ πατρῷα σιδήρῳ δάσασθαι, ὑφ' ὧν καὶ ἀπώλοντο.

170 Αἱ λαχάνων προσθῆκαι: Ἐπὶ τῶν μηδὲν ὠφελούντων.

159. Zen. I. 20.
160. Zen. I. 43.
161. Zen. II. 57.
162. Diog. II. 45.
163. Diog. II. 46.
164. Diog. II. 47.
165. Diog. II. 48.
166. Suid.
c πλευρὰν B. Vid. Schol. Ven. Il. ξ' 229.
167. Diog. II. 49.
168. Diog. II. 50.
169. Diog. II. 51. Vid. Schol. Sophocl. Œd. Col. 1375.
170. Diog. II. 52.

171 Αἰσχύνομαι μὰ τὴν φιλότητα : A

172 Αἰδὼς ἐν ὀφθαλμοῖς : Ἢ ὅτι οἱ τοὺς ὀφθαλμοὺς κεκομμένοι οὐκ αἰδοῦνται, ἢ ὅτι τοὺς παρόντας αἰδοῦνται μᾶλλον οἱ ἄνθρωποι ἢ τοὺς ἀπόντας.

173 Αἰδὼς α' οὐκ ἀγαθὴ κεχρημένοι ἀνδρὶ προίκτηι : Ἐπὶ τῶν δι' ἐπιείκειαν βλαπτομένων. B

174 [d] Ἀγνοεῖ α' ἀράχνη παῖδα ἕως παιδεύει, θρέψασα γὰρ τέθνηκεν : Ἐπὶ τῶν καθ' ἑαυτῶν τι διαπραγματευομένων.

175 Ἀεὶ τὰ πέρτσι βελτίω : Κατὰ τὰ Μακεδονικὰ ταπεινουμένων τῶν Ἀθήνησι πραγμάτων ἐν τοῖς Διονυσίοις ἐπεφώνουν τὸ προκείμενον οἱ Ἀθηναῖοι, δηλοῦντες τὴν προλαβοῦσαν εὐδαιμο- C νίαν.

176 Αἰτήτοτ γάμος : Ἐπὶ τῶν ἀλυσιτελῶς γαμούντων.

177 [Αἰγὶς] περὶ πόλιν : Αἰγὶς λέγεται τὸ ἐκ τῶν στεμμάτων δίκτυον· [ἡ γοῦν] ἱέρεια τὴν ἱερὰν αἰγίδα Ἀθήνησι φέρουσα ἀγείρει [ἀπὸ τῆς ἀκροπόλεως] ἀρξαμένη πρὸς τὰ ἱερά. τάττεται D ἡ παροιμία ἐπὶ τῶν ἀναίδην περιιόντων.

178 Αἰτῶν ὀνόματα : Οἷον ἄχρηστα πράγματα· ὅμοιαι γὰρ αἱ αἶγες.

179 [e] Ἄλετ' ἀπὸ μείζονος ἀνδρός : Ἤτοι φύλαξαι. Παραινεῖ ἡ παροιμία περιίστασθαι τῆς μετὰ τῶν μειζόνων ἀναστροφῆς. E

171. Diog. II. 53.

172. Suid. ubi κεκακωμένοι.

173. Suid.

174. Vat. I. 9.

[d] Ἀγνοεῖ] Natum videtur proverbium ex his apud Suidam senariis : Ἀγνοεῖ δ' ἀράχνη παῖδας ὡς παιδεύεται, Θρέψασα γὰρ τέθνηκε πρὸς τῶν φιλτάτων. Innuere videtur, tum demum araneam agnoscere se parentem, cum prolem educat, a qua exenteretur. Non dissimile illud B. Augustini tractatu XV. in Joannem, de gallina: *Videtis*, inquit, *quemadmodum gallina infirmetur cum pullis suis? nulla enim alia avis, quod sit mater agnoscitur*, &c. SCHOTT. De prima syllaba v. Ἀγνοεῖ vid. Meineke præf. Menand. p. XXIV.

175. Diog. II. 54.

176. Diog. II. 55.

177. Vid. Suid. pp. 1086. 1087. ibique notata. Verba uncinis inclusa ex A addita sunt.

178.

179. Vat. I. 6.

[e] Ἄλευ'] Tale illud Q. Horatii νόημα ad Lollium Epist. XVIII. v. 86. *Dulcis inexpertis cultura potentis amici, Expertus metuit.* Quia tædii res plena ac fastidii, nec periculis vacans : quo de singulari commentario disseruisse memini Joan. Casam, episc. Beneventanum. SCHOTT.

180 Ἄλλα μαρτυρεῖ τρία καὶ ἄλλα λήψει τρία: Ἐπὶ τῶν παν- A
οτιοῦν ποιούντων κέρδους ἕνεκα.

181 Ἄλλο γένος κώπης: Ἡρακλέα ἱστοροῦσι περαιούμενον ἐν
λέβητι ἐπὶ τὰς ἐν Ἐρυθίᾳ βοῦς χρῆσθαι ἱστίῳ μὲν τῇ λεοντῇ,
ἱστῷ δὲ τῷ ῥοπάλῳ, κώπῃ δὲ τῷ τόξῳ, διὸ καὶ ἐλέχθη ἡ παροιμία.

182 Ἄλλη τορέλλη: Τοὺς γεγηρακότας ἔσκωπτον οἱ περὶ τὴν B
σορὸν σορέλλη καὶ τορέλλη. Ἔστι δὲ κυρίως σορέλλη καὶ τορέλλη
ἐπιφώνημα θρηνητικὸν σὺν αὐλῷ.

183 Ἀλλότρια βάλλειν: Τοῦτο λέγεται ἐπάν τις ἐν τῷ κυβεύειν
ἁμάρτῃ.

184 Ἄκοτε τἀπὸ καρδίας: Ἐπὶ τῶν ἃ φρονοῦσι διεξιόντων. C

185 Ἄκοτε δὴ κακοῦ λόγου: Ἐπὶ τῶν τοὺς μύθους διηγουμένων.

186 Ἀκόλαστα χείλη οὐ στέγει βύσσους: Παρεγγυᾷ ὁ λόγος τοῖς
πράγμασιν ἐρρωμένως χρῆσθαι.

187 Ἀλλὰ γὰρ ἀθυμοῦντες ἄνδρες οἵπω τρόπαιον ἔστησαν:
Ἐπὶ τῶν δι' ἀθυμίαν μηδὲν πραττόντων γενναῖον. D

188 Ἄλλως ἀναλίσκεις ὕδωρ: Ἐπὶ τῶν ματαιολογούντων. Με-
τενήνεκται δὲ ἀπὸ τοῦ ἐν δικαστηρίῳ ὕδατος.

189 Ἀλλ' εἰ λύκος καλεῖ τὰς αἶγας μολών: Ἐπὶ τῶν ἐν ὑπο-
κρίσει ἐξαπατᾶν πειρωμένων.

190 Ἄλλος ποτ χώρας τρόπος: Ὅτι δεῖ τὰ ἑκάστης χώρας ἔθη E
μιμεῖσθαι τὸν ἐν ἑκάστῃ διατρίβοντα.

191 Ἄλις δὲ ἀρτόχων: Ἐπὶ τῶν πολλάκις ἀρχομένων λόγων καὶ
οὐ περαινόντων.

192 Ἅλμη ἰχθύων, κρεῶν δὲ ζωμός:

193 Ἀκαρπότερος Ἀγρίππου: Ἐπὶ τῶν μάτην πενομένων. Λά- F

180.
181. Diog. II. 57.
182. Diog. II. 58.
183. Diog. II. 60.
184. Diog. II. 59.
185. Respicit f. Platon. Gorg. p. 523 A. ubi καλοῦ.
186. Suid. p. 150 B. ubi Ἀκόλαστα . .
187. Vid. Suidam p. 169 A.
188. Vat. I. 8.
189.
190. Vid. Suid. p. 183 D.
191. Vat. I. 7. ubi Ἅλις δρυός.
f περαινούντων vitiose scriptum mutavi in περαινομένων. itaque converti. SCHOTT. περαινόντων A. B.
192.
193. Zen. I. 60.

κωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν ἀγρίππαν καλοῦσιν, λεπτόφυλλον καὶ πλεῖον αὐξανομένην πηγάνου. A

194 Ἄρτι μῦς πίττης γεύεται: Μῦς ὄνομά ἐστιν, ὥς φασι, Ταραντίνου πύκτου, ὃς ἐνίκησεν ἐν Πίσσῃ πολλὰς πληγὰς λαβὼν κατὰ τὴν ρια Ὀλυμπιάδα. Διηγούμενος δέ τις περὶ αὐτοῦ ἔλεγεν ὅσα ἔπαθεν ὁ Μῦς ἐν τῇ Πίσσῃ. Οἱ δέ φασι τὸ ζῶον ἐμπεσὸν εἰς πίσσαν δεινὰ πάσχειν, καὶ τέλος ἀποθνήσκειν ἀνελθεῖν οὐ δυνάμενον. B

195 Ἀκροκορινθία ἔοικας χοιροπωλήσειν: Ἐπὶ τῶν παρ' ὥραν λέγεται θρυπτομένων γυναικῶν. Οἱονεὶ ἔοικας μισθαρνήσειν ἐν Κορίνθῳ διὰ τὸ πλείστας ἑταίρας εἶναι ἐν αὐτῇ. Λέγεται δὲ χοῖρος τὸ γυναικεῖον αἰδοῖον. C

196 Ἄσκοι μορμολύττεσθαι: Ἐπὶ τῶν εἰκῇ φοβούντων.

197 Ἄστροις σημαίνεσθαι: Ἐπὶ τῶν ἐκ μακροῦ τι ὑπονοούντων. Εἴρηται δὲ ἀπὸ τῶν πλοϊζομένων.

198 Ἄτλας τὸν οὐρανόν: Εὐήμερος ἐν ἱερῷ λόγῳ προσέθηκε τὸ ὑπεδέξω. Λέγεται δὲ ἐπὶ τῶν τινὶ κακῷ περιπεσόντων ἐπιβαλλομέναν μεγάλῳ πράγματι. D

199 Ἁρμοδίου μέλος, Ἁδμήτου μέλος: Ἐπὶ τῶν σκολιῶν· τοιαῦτα γὰρ ἐστὶ τὰ εἰς Ἁρμόδιον καὶ Ἄδμητον μέλη σκολιά. Τινὲς δὲ κατ' ἀντίφρασιν εἰρῆσθαι λέγουσιν ὅτι ῥᾴδια καὶ ὀλιγόστιχα ὡς ἐπιγράμματα. Διὸ καὶ ἐπὶ τῶν ῥᾳδίων εἰρῆσθαι λέγουσιν. E

200 Ἀρκαδίην μ' αἰτεῖς: Ἐπὶ τῶν μέγαλα ἀξιούντων λαβεῖν. γρ. δὲ

Ἀρκαδίην μ' αἰτεῖς, μέγα αἰτεῖς, οὔτι δώσω. F

201 Ἄρκτου παρουσης τὰ ἴχνη ζητεῖς: Ἐπὶ τῶν δήλων ἡ παροιμία. Εἴρηται δὲ ἀπὸ τῶν κυνηγῶν.

202 Ἀροτραία μάντις: Ἀκρίς ἐστι δυσκίνητος. Ταύτης ταῖς κινήσεσιν οἱ ἀγροῖκοι μαντεύονται. Τίθεται τοίνυν ἐπὶ τῶν νωθρῶν

194. Diog. II. 64.
195. Suid. p. 3941 C. Ἀκρωνθία A. B.
196. Diog. II. 65.
197. Diog. II. 66.
198. Diog. II. 67.
199. Diog. II. 68.
200. Diog. II. 69.
201. Zen. II. 36.
202. v. Suid. p. 581 B.

καὶ δυσκινήτων. Οἱ δὲ ἐπὶ τῶν εἰκῆ ταῖς μαντείαις φλυαρούν- A
των.

203 Ἀρχαιότερος Ἰβύκοτ: Ἐπὶ τῶν εὐηθῶν. Ἴβυκος γὰρ τυ-
ραννεῖν πολιτῶν δυνάμενος ἀπεδήμησεν εἰς Ἰωνίαν.

204 Ἀπὸ τῆς κάπης ἐπὶ τὸ βῆμα: Ἐπὶ τῶν ἀθρόως τοῖς μεγί-
στοις ἐγχειρούντων. B

205 Ἀνέμοτ πεδίον: Ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.

206 Αἰδὼς ἐν ὀφθαλμοῖς ἔστω: Τὰ ἐν ὀφθαλμοῖς καὶ ἐν τῷ
φανερῷ γινόμενα μᾶλλον αἰσχύνονται.

207 ε Ἄκρον λάβε καὶ μέσον ἔξεις: Ἀπελλαῖοι περισωθέντες
ἀπὸ τοῦ περὶ Κλεισθένην πολέμου ἐπυνθάνοντο τοῦ θεοῦ πότερον C
τὴν προτέραν αὐτῶν ἀνοικήσειαν πόλιν, ἢ ἑτέραν ποιήσουσιν. Ἀπε-
κρίνατο δὲ ἡ Πυθία,

Πείθου ἐμοῖσι λόγοισιν· ἄκρον λάβε, καὶ μέσον ἕξεις.

καὶ ἄκραν ἔχουσαν τὴν πόλιν ᾤκησαν καταλαβόμενοι. Ἡ ἱστορία
παρὰ h Ἀλεξάνδρῳ ἐν πρώτῃ περὶ τῶν συληθέντων ἐν Δελφοῖς D
ἀναθημάτων.

208 i Βάκηλος εἶ: Ἐπὶ τῶν ἐκλύτων καὶ ἀνάνδρων. Κυρίως δὲ
βάκηλος ὁ k ἀπόκοπος.

209 Βάκτριτ: Ἐπὶ τῶν δικαιότατα κρινόντων. Αἰγύπτιος γὰρ
οὗτος ὢν ἐπὶ δικαιοσύνῃ καὶ ἐπινοίᾳ κρίσεως μνημονεύεται. E

210 l Βυζίνη παρρησία: Ἐπὶ τῶν σφόδρα πεπαρρησιασμένων.

203. Diog. II. 71.
204. Syrian. in Hermog. p. 16.
205. Diog. I. 82.
206.
207. Vat. I. 5.

ε Ἄκρον λάβε] Locus est mutilus, expleri potest Zenobii I. 57. et Apostolii verbis, apud quos eadem est parœmia, adduntque dici ἐπὶ τῶν δυσκινήτων καὶ δυσφράστων. Fragmentum et hîc e vetere historia, ut sæpe in Suida. Anaxandridæ Comœdiæ XXII advocantur ab Athenæo, et Stobæo: historia non item: ut de mendo suspicari liceat, reponendumque affinem Anaximandrum, qui Milesius Ionica dialecto historica scripsit, teste Suida, et heroelegiam ejus citat idem Dipnosophista. SCHOTT.

h Ἀλεξάνδρῳ] Sic A. non Ἀναξανδρίδῃ, ut ex Vat. edidit Schottus, et ut exhibet B. Alexandri ἐν πρώτῳ περὶ τοῦ ἐν Δελφοῖς χρηστηρίου meminit Steph. Byz. v. Παρνασός. Vid. Hemsterhus. ad Aristoph. Plut. p. 324. Clinton. Fast. Hellen. T. III. p. 539.

208. Zen. II. 62.
i Βάκυλος B.
k ἀπρόκοπος A.
209. Vat. I. 13.
210. Zen. II. 63.
l Βυζήνη B. Βυζήνου A. hic et infra.

Ἀπὸ Βυζίνου τοῦ Ποσειδῶνος ἀεὶ μετὰ παρρησίας διαλεγομέ- A
νου.

211 Βίος ἐξηντλημένος: Ἐπὶ τῶν ἀχρήστων. Ἐκ μεταφορᾶς τῶν ἀχρείων αὐλῶν.

212. 213 Βοιώτιον οἶς καὶ βοιωτία ἦς: Ἐπὶ τῶν ἀναισθήτων καὶ ἀπαιδεύτων. Ἐς τοῦτο γὰρ ἐσκώπτοντο οἱ Θηβαῖοι. B

214 Βοιώτιος νόμος: Ἡ παροιμία κατὰ τῶν ἀνοήτως διακειμένων.

215 Βέμβικος δίκην: Ῥόμβου τρόπον. Ἀπὸ τοῦ τὸν φεύγοντα μὴ ἐπ' εὐθείας τὴν φυγὴν ποιεῖσθαι, ἀλλ' εἱλεῖσθαι.

216 Βοῦθος περιφοιτᾷ: Ἐπὶ τῶν εὐήθων καὶ παχυφρόνων· ἀπό τινος Πυθιονίκου Βούθου μετενεχθεῖσα. C

217 Βοίνας δικάζει: Ἐπὶ τῶν τὰς κρίσεις ἀναβαλλομένων. Βούνας γὰρ Ἀθηναῖος ἐπιτραπεὶς τὴν δίκην Ἠλείων καὶ Καλυδωνίων, ἐπεὶ ἤκουσε μένειν αὐτοὺς ἕως ἂν ἀποφήναιτο, ἀνεβάλλετο μέχρι τελευτῆς τὴν ἀπόφασιν.

218 Βόσκοτσι τοὺς κάμνοντας: Ἐπὶ τῶν εἰς ἀλλοτρίας βλεπόν- D
των τρυφάς. Παρὰ τὸ

Αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν.

219 Βοιώτια αἰνίγματα: Ἐπὶ τῶν ἀσυνέτων· ἐκ μεταφορᾶς τῆς Βοιωτίας Σφιγγός.

220 Βοῦς ἐφ' ἑαυτῷ κονιεῖται: Ἐπὶ τῶν εἰς προῦπτον κίνδυνον E
ἑαυτοὺς ἐμβαλλόντων. Τινὲς δὲ ἐπὶ τῶν εὐχερῶς ἐπὶ κακῷ κινουμένων. Οἱ γὰρ βόες πρᾷοι ὄντες ῥᾳδίως ὑπείκουσι τοῖς δεσμοῖς.

221 Βοῦς ἐπὶ γλώσσης: Παροιμία ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι, ἤτοι διὰ τὴν ἰσχὺν τοῦ ζώου, ἢ διὰ τὸ τῶν Ἀθηναίων τὸ νόμισμα βοῦν ἔχειν ἐγκεχαραγμένον, ὅπερ ἐκτίνειν τοὺς πέρα F
τοῦ δέοντος παρρησιαζομένους.

222 Βοῦς Κύπριος εἶ: Ἀντὶ τοῦ [m]σκατοφάγος. Εὔδοξος γὰρ περὶ τούτων ἱστορεῖ ὅτι κοπροφάγοι εἰσίν.

211. Zen. II. 64.
212. Zen. II. 65.
213. Diog. III. 46.
214. Zen. II. 65.
215. Hesych.
216. Zen. II. 66.
217. Zen. II. 67.
218.
219. Zen. II. 68.
220. Zen. II. 69.
221. Zen. II. 70.
222. Vat. I. 11.

[m] σκατοφάγος] Hoc epitheton in Pluto Aristoph. [v. 706] Æ-

BIBLIOTECA NAZ. ROMA

223 Βοῦς ἕβδομος: Ἐπὶ τῶν ἀναισθήτων ἡ παροιμία. Βοῦν μὲν ἀπὸ τοῦ ζώου ἠλιθίου ὄντος, ἕβδομον δὲ ἐπειδὴ ἓξ ἔθυον οἱ πένητες, πρόβατον, ὖν, αἶγα, ὄρνιν, πετεινὸν, χῆνα, καὶ ἕβδομον τὸν βοῦν. A

224 [n]Βούτην Μήκων ἔγραφεν: Ἐπὶ τῶν ῥᾳδίως ἐπιτελουμένων· πίνακα γὰρ ὁ Μήκων γράψας ἐποίησέ τινα ὑπὲρ ὄρους φαινόμενον, καὶ ἐπέγραψε Βούτης, φαίνεται δὲ αὐτοῦ τὸ κράνος καὶ ὁ ὀφθαλ- B
μός.

225 Βαλὼν φεύξεσθαι οἴει: Ἐπὶ τῶν κακόν τι πραττόντων καὶ ἐκφυγεῖν οἰομένων.

226 Βάλλε εἰς ἅλα: Ἐπὶ τῶν ὀλέθρου ἀξίων. Ἀντὶ τοῦ κατα- C
πόντισον.

227 Βύβλου δὲ καρπὸς οὐ κρατεῖ σταχύν: Ἐπὶ τῶν οὐ δυναμένων τοῖς ἰδίοις χρῆσθαι καλοῖς, παρ' ὅσον ἀσθενὴς ἄνωθεν ἡ βύβλος.

228 Βῶλος ἄροτραν: Ἐπὶ τῶν τοῖς μεγίστοις τὰ μικρὰ προσ- D
φιλοτιμουμένων· ὡς εἴ τις ἐκ χαράδρας ὕδωρ τῇ θαλάσσῃ [o]προσά-
γων χαρίζεσθαι [p]δοκεῖ.

229 Βοῦς ἐπὶ σαρδῖ: Ἐπὶ τῶν ἡδυπαθούντων.

230 Βοῦς ὑπὸ στόν: Ἐπὶ τῶν ἀεὶ μοχθούντων.

231 Βορβόρῳ ἅδωρ λαμπρὸν μιαίνων οὔποθ' ἑρήσεις ποτόν: Ἐπὶ τῶν τὰ κάλλιστα τοῖς αἰσχίστοις μιγνύντων. E

232 Βάλλ' εἰς ὄλεθρον, βάλλ' εἰς κόρακας: Ἐπὶ τῶν ὀλέθρου ἀξίων.

233 Βακτηρία καὶ σχῆμα καὶ τριβώνιον: Γρ. καὶ τριώβολον. Τοῦτο ἐπέσκωπτον τοὺς Ἀθηναίους δικαστὰς, ἐπεὶ τούτῳ τῷ τρόπῳ ἐδίκαζον. F

sculapio ac medicis tribuit. Infra vero in Κύπριος βοῦς, pro eodem legas κοπροφάγος, *excrementis vescens*. SCHOTT.

223. Diog. III. 50.

224. Vat. I. 12.

[n] Βούτην] Historiam sed ἀδήλῳ pictoris nomine Zenobius habet in Θᾶττον ἢ Βούτης: *Citius quam Butes:* ut in eam opinionem hic quoque θᾶττον desiderari facile inducerer, nisi alphabeti servare ordinem observassem. SCHOTT.

225. Zen. II. 71.

226. Zen. II. 72.

227. Zen. II. 73.

228. Zen. II. 74.

[o] προσείων A.

[p] δοκοῖ Coisl.

229. Zen. II. 75.

230. Diog. III. 54.

231. Zen. II. 76.

232. Zen. II. 77.

233. Suid. p. 709 A.

234 Βάλλ' εἰς ἔχοντα τὴν ἐπιστήμην: Ἐπὶ τῶν λοιδορούντων A
τοὺς ὁμοτέχνους.

235 Βατράχοις οἰνοχοεῖς: Πρὸς τοὺς ταῦτα παρέχοντας ὧν οὐ
χρῄζουσιν οἱ λαμβάνοντες.

236 Βατράχοι ἔδωρ, καὶ Γαλῆι στέαρ: Ἐπὶ τῶν διδόντων ταῦτα
οἷς χαίρουσιν οἱ λαμβάνοντες. B

Βοῦς εἰς ἄμητον: Ἐπὶ τῶν μεγάλα ὠφελουμένων.

237 ¶Βαίττρι καὶ σκινδαφός: Ταῦτα παραπληρώματα λόγων,
εἰσὶ δὲ καὶ παροιμιώδη. Ἰόβας δὲ τὸν σκινδαψὸν ὄργανον λέγει
μουσικόν· τὸ δὲ βλίτυρι χορδῆς μίμημα.

238 Βομβύλιος ἄνθρωπος: Ἐπὶ τοῦ ἀκάρπου. Παρ' ὅσον ὁ βομ- C
βύλιος ἐκ [r] πηλοῦ τὰ κηρία συμπλάττει· ἔστι δὲ εἶδος μελίσσης.

239 Βοῦς ἄμητον ἐπιτηροῦντας: Ἐπὶ τῶν μετὰ ἐπιμελείας
καμνόντων.

240 Βοῦς ὁ Μολοττῶν: Ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων πράγ-
ματα καὶ κοπτομένων. Οἱ γὰρ Μολοττοὶ ἀποκόπτοντες εἰς μικρὰ D
τοὺς βοῦς τὰς συνθήκας ἐποιοῦντο.

234. Diog. III. 56.
235. Zen. II. 78.
236. Zen. II. 79.
237. Vat. I. 14.

¶ Βλίτυρι] De his raris et inusitatis vocibus Suidas, et sic Hesychius: Βλιτύριον, Ἰόβας τὸν σκινδαψὸν, ὄργανον ὂν μουσικὸν ἐπιδίδωσι· τὸ δὲ βλιτυρὶ χορδῆς μίμημα. Repono: Βλίτυρι· Ἰόβας σκινδαψὸν ὄργανον μουσικὸν ἐπιδίδωσι. *Jubas σκινδαψὸν organum esse tradit musicum,* Βλίτυρι *vero chordæ formam.* Tetrachordon itaque instrumentum, ac mulieribus potissimum in usu, cujus ex aurichalco chordæ penna feriri solitæ, qualis nobis Cithara dicta. Vide Athenæum et Eustathium, itemque Is. Casaubonum Animadv. ad Athenæum libro IV. c. 25. Alibi et absque sibilo initio scribitur: Κινδαψὸς, ὄργανον κιθαριστήριον. Phavorinus Camers in Lexico Βλιτυρὶ nihil significantem esse vocem pronuntiat. At pag. 372. Basil. Βλιτυρὶ, χορδῆς μίμημα· βλίτυρι καὶ σκινδαψὸς ἄλογον. Γέγονε καὶ ἤδη παροιμιῶδες, ὡς καταριθμεῖσθαι ἐν καταλόγῳ φαρμάκων. Ἰόβας δὲ τὸν σκινδαψὸν ὄργανον μουσικὸν ἀποδίδωσι. Τὸ δὲ βλίτυρι χορδῆς μίμημα, οὐκ εὖ. Mox in Βλίτυρι præpostere Hesychium descripserat; et qui ὁ Ἰόβας, est Jubas Mauritaniæ Rex, cujus historias et Plutarchus advocat in Romulo, [p. 25 E.] et in Sulla; [p. 462 E.] et Euphorbium herbam celebrasse auctor C. Plinius lib. XXV. c. 7. et Theatricam historiam citat Athenæus: plura vero Suidas. SCHOTT.

238. Zen. II. 80.
[r] κηροῦ A.
239. Zen. II. 82.
240. Zen. II. 83.

241 [s]Βοῦς ἐπέβη: [t]Ἐπὶ τῶν ἐξαίφνης γινομένων ἀφώνων εἴρηται A
ἡ παροιμία· παρ' ὅσον οἱ ἀργυρίῳ ζημιούμενοι ἠναγκάζοντο σιωπᾶν. Βοῦν γὰρ ἐνταῦθα τὸ ἀργύριον, διὰ τὸ [t]τοὺς Ἀθηναίους ἐν τῷ νομίσματι βοῦν ἐγχαράττειν. Οἱ δὲ βοῦν τὸ ζῶον ἐνταῦθα, ἐπειδὴ [u]μέγιστον τῶν βοσκημάτων.

242 Βάτα Κάρας: [t]Ἐπὶ τῶν παχέων λέγεται τοῦτο. Τινὲς οὖν B
ἐνόμισαν ἓν ὄνομα τοῦτο εἶναι, καὶ ἐχρήσαντο τῇ παροιμίᾳ ἐπὶ τῶν παχέων. [v]Ἔστι δὲ [x]υἱὸς ὁ Κάρας τοῦ Βάτα, ὡς ἐν τῷ [t]Ἡραίῳ τῷ Σαμίῳ ἐπιγέγραπται.

243 Βοταήσεταί τις μᾶλλον ἢ μιμήσεται: [v]Ὅλον κεῖται ἐν
τῷ μωμήσεταί τις μᾶλλον ἢ μιμήσεται. C

244 [y]Βοτμήκοτ νῆες: [t]Ἐπὶ τῶν [z]παραλογιζομένων. Φασὶ γὰρ Κυρηναίους οὔσας τὰς ναῦς προσεποιεῖτο ἰδίας ἔχειν.

245 [a]Βάβτος χορός: [t]Ἐπὶ τῶν ἀφυέστερον τῇ μουσικῇ χρωμένων. Μαιάνδρῳ γὰρ τῷ ποταμῷ δύο ἐγενέσθην παῖδε· ὧν ὁ [b]Μαρσύας

241. Vat. I. 15.

[s] Βοῦς] Concise id dictum apud Suidam, Βοῦς ἐπὶ γλώττης. Integre in Agamemnone [v. 36.] Æschylus extulit: Τὰ δ' ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώττης μέγας βέβηκεν. Usurpavit Philostratus non raro in Apollonii vita: et notum Pythagoram suis auditoribus bovem imposuisse, hoc est, taciturnitatem quinque annorum, de qua ἐχεμυθίᾳ Agellius lib. I. c. 9. Nota quoque de Demosthene historia, qui argentanginam pati ferebatur, quod pecunia corruptus in judicio pisce magis factus mutus esset. Idem Agellius lib. XI. c. 9. ex Critolao. SCHOTT.

[t] τοὺς Ἀθηναίους] Deliis alios tribuere Julius Pollux lib. IX. [61] docet et Desiderius Adagio, *Bos in lingua*. SCHOTT.

[u] μέγιστον τῶν βοσκημάτων] Hinc et Græci rebus magnis bovis addunt nomen, ut in βουλιμίᾳ, de qua in Symposiacis Plutarchus [p. 694 B.] (Latinis enim *Canina fames:*) et *Bucera sæcla* T. Lucretio libro V. [864.] et *Bucera armenta* Nasoni Metamorph. lib. VI. [v. 395.] SCHOTT.

242. Vat. I. 16.

[x] ὑὸς A. B.

243.

244. Vat. I. 17.

[y] Βουνέμου et mox παροργιζομένων Vat. I. 17. ubi παραλογιζομένων A. B.

[z] παροργιζομένων] Malim παρορίζομένων, una dumtaxat littera demta, si membranæ faverent. SCHOTT.

245. Vat. I. 18.

[a] Βάκνος B.

[b] Μαρσύας] De Marsya cum Apolline tibiis certante nota fabula ex Ovidio Metamorphos. lib. VI. et Apuleio Floridorum initio: itemque de crudeli illo supplicii genere pelle exuendi plura colligit exempla Junius ex Eunapio et Agathia, Adagio Μαρσύου θάνατος Centuria III. Adde his et B. Bartholomæi Apostoli, et Sisam-

μὲν δυσὶ καλάμοις κατὰ τὸν Φρύγιον ηὖλει νόμον, ἐνὶ δὲ μόνῳ ὁ A
Βάβυς. Ἀλλ' ὁ μὲν ἐπαρθεὶς τοῖς αὐλοῖς καὶ πρὸς ἔριν [c]ἀπονοηθεὶς Ἀπόλλωνος εἰσπράττεται τῆς ἀπονοίας δίκην κατὰ τὴν Φρυγίαν εἰς ἀσκὸν ἀποδαρῆναι· ὁ δὲ Βάβυς ἐρρύσθη τῆς Ἀπόλλωνος ὀργῆς, μήτε ἐπαρθεὶς καὶ ἀφυέστερον αὐλῶν. [d]Ἔνθεν καὶ τὸ Κάκιον [d]Βάβυς αἰεῖ παροιμιῶδες τάττεται ἐπὶ τῶν κατὰ τὸ B
χεῖρον ἀσκούντων.

246 [e]Βάλλειν μήλοις: Ἐπὶ τῶν τυχόντων ὧν [f]ἐρῶσι. Παρῆκται δὲ ἀπὸ τῶν πεμφθέντων παρ' Ἱππομένους ἐπὶ Ἀταλάντην μήλων. Προὔκειτο μὲν γὰρ ἔπαθλον τῷ νικῶντι τὴν Ἀταλάντην δρόμῳ ὁ ταύτης γάμος. Εἰς ἅμιλλαν γοῦν ὁ Ἱππομένης καταστὰς χρυσᾶ C
μῆλα πρότερον παρὰ τῆς Ἀφροδίτης λαβὼν, καὶ ταῦτα ῥίπτων αὐτῆς περιγέγονεν ἀσχολουμένης περὶ τὴν τῶν μήλων συλλογήν.

247 Βαλανεύς: Ἐπὶ τοῦ περιέργου καὶ πολυπράγμονος. Οὗτοι γὰρ σχολὴν ἄγοντες πολυπραγμονοῦσιν.

248 Βάτραχος Σερίφιος: Ἐπὶ τῶν ἀφώνων. Παρ' ὅσον οἱ ἐν D
Σερίφῳ βάτραχοι οὐ φθέγγονται κομισθέντες εἰς Σκύρον.

249 [g]Βαβαὶ Μῆκος: Ἐπὶ τῶν μεγαλαύχων. Οὗτος γὰρ τῆς ἐν Ἐφέσῳ Ἀρτέμιδος ἱερεὺς γέγονεν, ἀστεῖός τε καὶ μεγάλαυχος.

250 [h]Βοτζίτης: Ἐπὶ τῶν πολλὰ ἀρωμένων. Ὁ γὰρ Βουζύγης

nis, qui apud Herodotum lib. V. c. 25. et Valerium VI. c. 3. excoriatus legitur: et insidere in sella pelle instrata jussus filius Otanes a Megabyzo Persa. Nostraque memoria capta ab immani Turca Mustapha Famaugusta urbe Cypri vivus excoriatus est Bragadenus per summam perfidiam: Natalis de Comitib. lib. XXII. Histor. sui temporis. SCHOTT.

[c] ἀπογοηθεὶς Vat. I. 18.

[d] βάβυος Vat.

246. Vat. I. 19.

[e] Βάλλειν μήλοις] Maro in Bucolicis [III. 64.] *Malo me Galatea petit lasciva puella.* Et Aristophanes ἐν Νεφέλαις [993.] μήλῳ βληθείς. De Hippomene autem cum Atalanta cursu certante, et verba faciente, et projectis tribus Veneris pomis, Naso extremo libro X. Metamorph. SCHOTT.

[f] ἐρῶσι B.

247. Diog. III. 64.

248. Diog. III. 44.

249. Vat. I. 20.

[g] Βαβαὶ] Totidem pæne in Collectaneis verbis Suidas. SCHOT.

250. Vat. I. 21. v. Schweigh. ad Herodot. VII. 231. Infra dedi ἄροτον pro ἄροτρον.

[h] Βουζύγης] Hîc tenebræ loco truncato. De eodem Hesychius: e quo nos olim Ausonii Galli Epigramma supplevimus, suggessimusque per epistolam erudito viro Eliæ Vineto Santoni. Primus hic heros aratri usum Athe-

Ἀθήνησιν ὁ τὸν ἱερὸν ἄροτον ἐπιτελῶν ἄλλα τε πολλὰ ἀρᾶται, καὶ τοῖς μὴ κοινωνοῦσι κατὰ τὸν βιὸν ὕδατος ἢ πυρὸς, ἢ μὴ ὑποφαίνουσιν ὁδὸν πλανωμένοις. A

251 [i]Βοτάδρωι νόμωι: Ἐπὶ τῶν ἀξίων τοῦ δαίρεσθαι ὡς οἱ βόες.

252 Βοίδιον Μολοττικόν: Ἐπὶ τῶν καλλίστων· ἐπειδὴ διαφέρουσιν οἱ ἐγ [k]Ἠπείρῳ βόες. B

253 Βολίτου δίκην: Πρὸς τοὺς ἀξίους καὶ ἐπὶ μικροῖς τιμωρίαν ὑπέχειν. Ἐν γὰρ τοῖς Σόλωνος [l]ἄξοσιν ὁ νόμος καὶ τοὺς βόλιτον ὑφελομένους κολάζει.

254 Βοῦς ἐν πόλει: Ἐπὶ τῶν παραδόξων καὶ θαυμαζομένων. [m]Λυσίας γὰρ ἀνέθηκε βοῦν ἐν ἀκροπόλει. C

255 [n]Βήσας ἔστηκας οἷον ἀχανής: Οὗτος ἕστηκεν ἀχανὴς παταγώδης καὶ ὑπόμωρος.

256 Βάλε Μακαρίαν: Οἱ μὲν κατὰ εὐφημισμὸν ἐδέξαντο λέγεσθαι ἀντὶ τοῦ Βάλε εἰς ἀειλαιότητα. Μακαρίαν γὰρ χωρίον ἐν Ἅιδου διατυποῦσιν. Οἱ δὲ τὴν Μακαρίαν θυγατέρα τοῦ D Ἡρακλέους, καὶ κατὰ χρησμὸν εἰς ἑκούσιον θάνατον ἑαυτὴν ἐπιδοῦναι, κατὰ τὴν Εὐρυσθέως ἐπὶ τὰς Ἀθήνας στρατείαν. Τὸν οὖν τάφον αὐτῆς ἄνθεσι καὶ στεφάνοις τιμῶντες οἱ Ἀθηναῖοι ὕστερον ἐπέλεγον, Βάλλ' ἐς Μακαρίαν. Τὸ μὲν οὖν πρῶτον ἐπὶ τῶν κατ' ἀρετὴν διδόντων ἑαυτοὺς εἰς θάνατον· ὕστερον δὲ καταχρηστι- E κῶς ἐπὶ πάσης ἀφοσιώσεως ἡ παροιμία ἐλέγετο.

niensibus bobus junctis ostendit. Hinc et Βουζύγιον Athenis locus, quo de in Connubialibus Plutarchus [p. 144 B.] SCHOTT.

251. Vat. I. 22.

[i] Βουδόρῳ] Utitur Zenobius, Hesychius et Suidas, sed ignota proverbii est origo. Erasmus reddidit *Budarensi more*. *Budorum* vero promontorium est Salamini oppositum, teste Stephano. SCHOTT.

252. Vat. I. 23.

[k] πείρῳ] Pro πείρῳ, ἠπείρῳ tentabam, nisi quid melius alii habent. Aut fort. πείρᾳ. SCHOTT. ἠπείρῳ B.

253. Vat. I. 24.

[l] ἄξοσι] Suidas eadem, nisi quod Σόλωνος, habet diserte, [et A.B.] cujus erant ἄξονες legum Athenis: nisi si exaudiri facile queat. SCHOTT.

254. Vat. I. 25.

[m] Λυσίας] Quis hic Lysias, ut supra Isæus Samius Adag. 16. nondum equidem comperi. Viderint eruditiores, et otio abundantes. SCHOTT. V. supra n. 242. et mirere Schotti oscitantiam.

255. Vat. I. 26.

[n] Βήσας] Habet totidem pæne verbis Mich. Apostolius, typis editus, et calamo exaratus: et Besas nomen est proprium, sed hominis ignoti. SCHOTT.

256. Zen. II. 61.

257 [o]Βατταρίζειs: Ἀπὸ Βάττου τινὸς [p]ἰσχνοφώνου. A

258 Βάτου σίλφιον: Ἐπὶ τῶν τὰς ὑπερβαλλούσας τιμὰς εὑρισκόντων. Μετενήνεκται δὲ [q]ἀπὸ τείχους Κυρηναίου ἐνὶ τῶν Βαττιάδων μεταδοῦναι ἐξαίρετον σίλφιον.

259 [r]Βίος μεμαγμένος: Ἐπὶ τῶν ἐξ ἑτοίμου καὶ ἀπόνως τρεφομένων. Γράφεται καὶ Βίος ἀληλεσμένος, καὶ τίθεται ἐπὶ τῶν B εὐδαιμονίαν ἐμφαινόντων.

260 Βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα: Τοῦτο Εὐριπίδου ἐστὶ, ὡς Ἀριστόξενός φησι, ὅτι Εὐριπίδης διορθῶν τὸν Τήλεφον [s]ἐξεῖλε τὴν ([t]πεττείαν.) Λέγεται δὲ ἐπὶ τῶν ἀδιανοήτων.

257. Vat. I. 27.

[o] Βατταρίζειs] Diogenianus [III. 68.] ἀντὶ τοῦ τραυλίζειν pro *balbutire*, ex Herodoto, lib. IV. c. 155. et Cic. libro VI. ad Atticum [Ep. 5.] aliter paullo usurpat: ad quem locum ut et de *ἰσχνοφωνίᾳ*, disputat Desiderius Adag. 76. Cent. VII. Chil. III. Βαττολογία ab eodem derivata vox, ac vitium hæsitantis, exilis, ac blæsæ linguæ. Hesychius locis duobus, Etymologista, et Suidas a Batto vocem derivant. Quæ sequuntur τιμὰς εὑρισκόντων, nisi εὑρίσκοντες legas, mutila sunt, et alterius sunt potius parœmiæ, mireque depravata. Reponenda forte ex Hesychio Βάττου σίλφιον. Παροιμία ἐπὶ τῶν τὰς ὑπερβαλλούσας τιμὰς εὑρισκομένων, (vel ut hîc legitur εὑρισκόντων.) Μετενήνεκται δὲ ἀπὸ τοῦ τείχους (forte ἔθνους) Κυρηναίου (male Hesychius ἀπὸ τοῦ Κυρηναίου) ἐνὶ τῶν Βαττιαδῶν μεταδοῦναι ἐξαίρετον τὸ σίλφιον, claro sensu, quem etiam paucis mutatis in Apostolio et Suida reperias, nisi quod editum in Apostolio est unico τ, ἐνὶ τῶν Βάτων: et in Basil. Hervagii editione anni 1538. in Adag. Βάτου σίλφιον. Ἐπὶ τῶν σπανίως τι μεταλαμβανόντων. Emendo, ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων. Et mox trajecta suo colloco ordine: καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν. Οἱ δὲ ἐπὶ Λιβύης, &c. Rectius vero Suidas, opinor, Βάττων geminata ταῦ littera præfert. Ita enim Libyes reges suos appellare solitos tradit Herodotus libro IV. [c. 155.] apud quem aliud genus hominum Battiadæ sunt. [c. 202.] SCHOTT.

[p] *Ἰσχνοφώνου*] Nonnulla excidisse putat Hemsterhus. ad Aristoph. Plut. p. 320. In Schotti ed. scilicet omissa sunt priora verba sequentis proverbii, Βάττου—ὑπερβαλλούσας, quæ integra præbet B.

[q] ἀπὸ τείχους Κυρηναίου] ἀπὸ τοῦ τοὺς Κυρηναίους Hemsterhusius ib.

259. Vat. I. 28.

[r] Βίος μεμ.] Hæc quoque duo conjunxit Suidas, sed explanat aliter paullo: additque continenter tertium βίον ἐξηυλημένον, *Extibiatam vitam*, pro inutili, ducta a detritis tibiis tralatione. SCHOTT.

260. Vat. I. 29.

[s] ἐξεῖλε] Hiatum explevi addita voce τὴν πεττείαν e Zenobio Centuria II. Adag. 85. qui legit καὶ Ἀριστόξενος. Aristophanes autem Comicus ἐν βατράχοις pag. 277. nuperæ editionis [v. 1447.] in ore Bacchi collocat, ut Euripideum; cui tamen falso attribui auctor sit

261 Βοῦς ἐν ἀταίοι γέρων: Ἐπὶ τῶν δι' ἀσθένειαν ἡσυχαζόν- A
των.

262 [u]Βάλλ' εἰς θοῦρον: Ἐπὶ τῶν ὀλέθρου ἀξίων.

263 Γαλὴ Ταρτησία: [v]Νῆσός ἐστιν ἡ Ταρτησὸς ἔξω τῶν Ἡρακλείων στηλῶν, ἧς Ἀργανθώνιος ἐβασίλευεν. Ὡς οὖν ἐκεῖ μεγάλων γενομένων γαλῶν λέγεται ἡ παροιμία. B

264 Γαλὴ ἐν πόλει: Ὑπὸ Φαίδου ἀνετέθη Γλαυξ ἐν ἀκροπόλει.

265 Γαλῆ ἵπταται: Ἡ πτῆσις τῆς γλαυκὸς νίκης σύμβολον ἐνομίζετο Ἀθηναίοις.

266 [x]Γνῶθι σαυτόν: Ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων. [y]Ἐστι δὲ ἀπόφθεγμα ἑνὸς τῶν ἑπτὰ σόφων, ἤτοι Σόλωνος ἢ Θάλου. C

267 [y]Γραῦς [y]Ἔριφος: [y]Ἔριφος γραῦς ἡ ἐν παρθενίᾳ γεγηρακυῖα. Οἱ δὲ τὴν ἀρουραίαν ἀκρίδα φασὶν ὑπό τινων μάντιν καλουμένην, κατὰ Σικελίαν δὲ Γραῦν ἔριφον, ἢ Γραῦν ἐρίφων.

gravis censor Aristarchus. Sic enim enarrator Græcus: Ἀρίσταρχός φησιν ἀδεσπότως τοῦτο προφέρεσθαι ὡς Εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ Τηλέφῳ, οὓς καὶ περιεῖλε. Euripides quoque in Supplicibus de Cadmo: [v. 330. Ἔτ' αὐτὸν ἄλλα βλήματ' ἐν κύβοις βαλεῖν Πέπεισθα.] Simile fortasse de talis proverbium Zenobii Centur. IV. Adag. 23. Suidæque et Diogeniani: *Aut ter sex, aut tres tali.* De quo et Eustathius in Hom. Iliad. π. [p. 1083, 64.] SCHOTT.

[t] Deest vox cum lacuna B. et sic Vat.

261.

262. Vat. I. 30.

[u] Βάλλ' εἰς] Talia sunt illa imprecantium: Βάλλ' εἰς κόρακας: *Abi ad corvos*, et κατ' εὐφημισμὸν, Βάλλ' εἰς μακαρίαν: *Aufer te in beatam*, pro *in malam rem.* SCHOTT.

263. Vat. I. 35.

[v] Νῆσος] Suidas totidem pæne verbis, sed πόλις habet. De Tarteso Strabo, [III. p. 199=221.] et nos ad Pomponium Melam [II. 6, 25.] et Ant. Augustinus Dial. VIII. Antiqq. Numismatum. SCHOTT.

264. Vat. I. 36. Φαίδου Hesych.

265. Zen. II. 89.

266. Vat. I. 37.

[x] Γνῶθι σεαυτὸν e cælo descendisse Juvenalis Sat. XI. v. 27. canit, et Cic. libro de Legibus [Ep. ad Quint. Frat. III. 6. Tusc. I. 22.] ac Varronianæ apud Nonium Satyræ hinc sumpta inscriptio. Pro Solone (etsi et hic unus sit septem Græciæ Sapientum) Chilonem id usurpasse Laërtius ait [I. 40.] et Thaletem interrogatum, quid esset difficile, respondisse, *Se nosse.* SCHOTT.

267. Vat. I. 39.

[y] Γραῦς ἔριφος] Suidas ejusque interpres Germanus *Seripha* præferunt, non ab ἐρίφῳ hœdo: ut alio proverbio domi ludere hœdus dicitur pro juvenca. Nam a Seripho insula Seriphia est rana muta derivata. Clarius autem Suidas metaphoram esse dixit ab agresti traductam locusta, quæ et μάντις *vates* sit dicta Siculis. SCHOTT.

268 Γυμνότερος λεβηρίδος: Ἀριστοφάνης Τυλότερος λεβηρίδος. Λέγεται δὲ λεβηρὶς τὸ δέρμα τοῦ ὄφεως ἀπὸ τῆς λεπίδος. Κυρίως δὲ λεβηρὶς ᾧ περιέχεται τὸ ἔμβρυον τοῦ βοός. Τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν, οἱ μὲν γυμνότερον, οἱ δὲ κενώτερον, οἱ δὲ τυλότερον. A

269 Γραῖς [a]βακχεύει: Ἐπὶ τῶν παρ' ὥραν τι διαπραττομένων. Ταῖς γὰρ νέαις πρέπει χορεύειν. B

270 Γυμναῖι σταλακὴν ἐπιτάττεις: Ἐπὶ τῶν μὴ δυναμένων τὰ τεταγμένα πληροῦν.

271 Γέλως στγκροτσιος: Ἤτοι ἄκοσμος καὶ ἄτακτος· παρ' ὅσον τινες γελῶντες τὰς χεῖρας συγκρούουσιν ἢ τοὺς πόδας. C

272 [b]Γεραναρῖν μεταφυτεύειν: Ἐπὶ τοῦ ἀδυνάτου. Παρεγγυᾷ δὲ, ὅτι μὴ δεῖ τοὺς παρηβηκότας προάγειν εἰς τὰ τῶν ἀκμαζόντων ἔργα.

273 Γόνυ κνήμης ἔγγιον: Ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἑτέρων ἀγαπώντων. Φασὶ γὰρ ἐν τῷ κατὰ Χαιρώνειαν πολέμῳ ἰδόντα D τινὰ ἀνεψιὸν καὶ ἀδελφὸν καταπονουμένους βοηθῆσαι τῷ ἀδελφῷ εἰπόντα τὸ προκείμενον.

274 Γηράσκω δ' ἀεὶ πολλὰ διδασκόμενος: Ἐπὶ τῶν διὰ τὸ γῆρας ἐμπειροτέρων.

275 Γραῶν ἕθλοι: Ἐπὶ τῶν μάτην ληρούντων. E

276 Γλαῦκα εἰς Ἀθήνας: Ἐπὶ τῶν ἀχρήστους ἐμπορίας ἀγόντων· ἐπειδὴ πάνυ ἐγχωριάζει τοῖς Ἀθηναίοις τὸ ζῶον.

277 Γαλῆ χιτώνιον: Ὁμοία τῇ, Οὐ πρέπει γαλῆι κροκωτός. Ἐπειδὴ γαλὴ κατὰ πρόνοιαν Ἀφροδίτης γυνὴ γενομένη ἐν χιτῶνι κροκωτῷ οὖσα ἐπέδραμε μυΐ. F

278 [c]Γέρρα Νάξια: Γέρρα Σικελοὶ λέγουσι τὰ ἀνδρεῖα καὶ γυναι-

268. Zen. II. 95.
[a] *βλακεύει* A.
269. Zen. II. 96.
270. Zen. II. 98.
271. Zen. II. 100.
272. Zen. III. 1.
[b] Γερόδρυον Zen.
273. Zen. III. 2.
274. Zen. III. 4.
275. Zen. III. 5.
276. Zen. III. 6.
277. Zen. II. 93.
278. Vat. I. 40.
[c] *ἁμαξιαῖα*] Quid Maxia adhuc quæro. *Gerras Siculas* etiam Ausonius celebrat et Plautus. SCHOTT. Νάξια et mox Νάξῳ B.

κεῖα αἰδοῖα. [a]Ἦν δὲ ἐν τῇ Σικελικῇ Νάξῳ τέμενος ἐπιθαλάσσιον A
Ἀφροδίτης, ἐν ᾧ μεγάλα αἰδοῖα ἀνέκειτο.

279 ΓΑΛΗΙ ΣΤΕΑΡ: Πρὸς τοὺς οἷς χαίρουσι ταῦτα λαμβάνοντας.

280 [d]ΓΑΛΛΟΙΣΙ ΤΕ ΤΕΜΕΙΝ: [a]Ἐπὶ τῶν ἀφροντίστως ἀπαλλαγὴν
πραγμάτων ποιήσασθαι βουλομένων. Γάλλοι γὰρ καλοῦνται οἱ
ἀποτετμημένοι, ἢ ἀπὸ Γάλλου τοῦ ποταμοῦ, ἢ ὅτι μεταπεπτώκα- B
σιν εἰς ἑτέραν φύσιν.

281 ΓΑΣΤΕΡΑ ΜΟΙ ΠΡΟΦΕΡΕΙΣ ΚΑΛΛΙΣΤΟΝ ὌΝΕΙΔΟΣ ἈΠΑΝΤΩΝ· Ἡ
ΠΛΗΘΟΤΣΑ ΜΕΝ ἙΛΑΦΡΑ ΚΕΝΗ ΔΕ ΒΑΡΕΙΑ: [a]Ἐπὶ τῶν γαστρι-
μαργούντων.

282 ΓΗΡΑ ΒΟΙΤΣ, ΤΑ Δ' ἜΡΓΑ ΠΟΛΛΑ ΤΩΙ ΒΟΙ: [a]Ἐπὶ τῶν διὰ τὸ C
γῆρας ἀχρήστων.

283 ΓΈΛΩΣ ἸΩΝΙΚΌΣ: [a]Ἐπὶ τῶν κενοδόξων καὶ ἐκλελυμένων· παρ'
ὅσον οἱ [v]Ἴωνες ἐπὶ τούτοις διαβάλλονται. Γράφεται καὶ ΓΈΛΩΣ
ΧΊΟΣ [e]ἐπὶ τῶν διὰ πλῆθος χρόνου οὐχ ἁμαρτανόντων.

284 ΓΈΡΑΙΡΕ ΣΑΥΤΌΝ: [a]Ἐν ἤθει, ἀντὶ τοῦ εὔφραινε σαυτόν. D

285 ΓΈΛΩΣ ΜΕΓΑΡΙΚΌΣ: [a]Ἐπὶ τῶν ἀώρως θρυπτομένων. [v]Ἠκμασε
γὰρ [f]ἐπὶ χρόνον ἡ Μεγαρικὴ κωμῳδία, ἣν Ἀθηναῖοι καταμωκώμενοι
ἐγέλων.

286 ΓΈΡΟΝΤΙ ΜΗΔΕΝ ΜΗΔΕΠΟΤΕ ΧΡΗΣΤΟΝ ΠΟΙΕΙΝ: [g]Παρεγγυᾷ
μὴ δὲ [h]ἀκαίρως εὐεργετεῖν.

279. Vat. I. 41.

280. Vat. I. 42.

[d] Γαλλοὺς] Galli sacerdotes Cybeles Deæ, exsecti Samia testa. Pleni sunt libri. SCHOTT. Γαλλοὺς Vat. Γαλλισὶ Coisl. Γάλοισι B.

281. Diog. III. 85.

282. Vat. I. 44.

283. Vat. I. 45.

[e] Ἐπὶ τῶν διὰ χρόνου πλῆθος οὐχ ἁμαρτανόντων] Ut assuta neque huc pertinentia asterisco notavi, et alio trajicienda in suum locum. SCHOTT.

284. Suid. p. 812 A.

285. Vat. I. 46.

[f] ἐπὶ χρόνον] Deesse videtur nomen cujus floruit temporibus, loco ἀώρως, quod hîc male geminatum. Suidas ἄωρος habet, et hæc Græce continet, etsi omissa a Germano interprete. SCHOTT.

286. Vat. I. 31.

[g] Παρεγγυᾶ B.

[h] ἀκαίρως] Ἀκρίτως, *sine delectu et judicio*, hîc in Suida est, pro quo noster ἀκαίρως. Aristoteles quoque vulgi dicto jactatum affirmat II. Rhetor. ad Theodectem [I. 15, 14.] Amplius vero Diogenianus hoc proverbium extulit [VI. 61.]: *Ne quis feminæ, puero, cani alterius et garrulo faciat bene.* Senibus quidem et pueris, forte quod cito obliviscantur beneficiorum. Hinc etiam L. Seneca lib. III. de Benef. c. 34. colligit hinc fieri, quod ingratos

287 Γέροντες εἰς ἄχτρον ἀποδεδρακότες: [1]Ἐπὶ τῶν ἑαυτοὺς A
ἀσφαλιζομένων. Τοῦ γὰρ Πέρσου κατιόντος εἰς ὄχυρόν τινα τόπον
τοὺς γέροντας οἱ Ἀθηναῖοι κατέστησαν. Οἱ δὲ παρεφθάρθαι
φασὶ τὴν παροιμίαν ἀπὸ τῆς [m]Ονος εἰς ἄχτρα ἐπὶ τοῦ [i]ἑκάστῳ
χρήστου καὶ [k]ἡδέος λεγομένης.

288 Γῆς βάρος: [1]Ἐπὶ τῶν εἰς μηδὲν συντελούντων. B

289 Γῆι θάλατταν στναναμίγνυσιν: [1]Ἐπὶ τῶν σφόδρα ὀργιζο-
μένων.

290 Γῆς ἕντερα: [1]Ἐπὶ τοῦ μηδενὸς ἀξίου.

291 [l]Γάλα ὀρνίθων: [1]Ἐπὶ τῶν σπανίων.

292 [m]Γλαὺξ διέπτατο: [1]Ἐπὶ τῶν αἰσίοις χρωμένων οἰωνοῖς. [1]Ἐν C
Σαλαμῖνι γὰρ ταύτῃ διελθούσῃ θαρρήσαντες οἱ [n]Ἕλληνες ἐνί-
κησαν.

293 Γατκὺς ἀπείρωι πόλεμος: [1]Ἐπὶ τῶν ὑπ' ἀπειρίας ἑαυτοὺς
καθιέντων εἰς κίνδυνον.

294 [n]Γαῦσσα γὰρ οἰκεῖ ὅπου ὁ κοτρεύς: [1]Ἐπὶ τῶν δυναμένων D
σωφρονίζειν τοὺς πέλας.

295 Γατκεῖ ὄπωρα φύλακος ἐκλελοιπότος: [1]Ἐπὶ τῶν ἄνευ
μόχθων τὰ ἀλλότρια καρπουμένων.

experiantur discipulos magistri, quod pueritiæ memoriam raro recordentur ultimam; ideoque officia illi ætati præstita intercidere. SCHOTT.

287. Vat. I. 47.

i ἑκάστου B.

k ἡδέως A.

288. Diog. III. 90.

289.

290. Diog. III. 91.

291. Vat. I. 43.

l Γάλα] De lacte gallinaceo Suidas, aliter etiam de valde fortunatis et omnia possidentibus dictum ait, allato Aristophanis ex Avibus loco [v. 734.] SCHOTT.

292. Vat. I. 48.

m Γλαὺξ διέπτατο] Suidas sic: *Noctuæ volatus victoriæ signum est.* Plutarch. in Pericle de noctua, quæ concionanti advolavit, ut assensum inde sit. SCHOTT.

293. Diog. III. 94.

294. Vat. I. 49.

n Γλῶσσα] Proverbium depravate scriptum: Γλῶσσα γὰρ οἰκεῖ ὅπου σκούρεις. Tentaveram aliquando, οἱ κουρεῖς. De tonsoribus id experimento est exploratum, cum ibi garruli frequentes, et Plut. lib. περὶ ἀδολεσχίας [Symp. p. 679 A.], ubi et κουρεῖα vocat ἄοινα συμπόσια, *sine temeto compotationes.* Nunc placet magis quod reposui, estque in Diogeniano Cent. III. Adag. 9. item in Zenobio et Suida. SCHOTT.

295. Diog. III. 95.

296 Γλώττης δ' ἔνεστι καὶ παρ' αὐληταῖς φόφος: Ὅτι καὶ οἱ A τυχόντες εἰπεῖν τι καὶ πρᾶξαι δύνανται.

297 [o]Γλαῦκες [p]Λαυριωτικαί: Ἐπὶ τῶν πολλὰ χρήματα ἐχόντων. Ἐν γὰρ Λαυρίῳ τῆς Ἀττικῆς χρύσεια μέταλλα ἦσαν. Ἐπεχάραττον δὲ γλαῦκας ἐν τοῖς νομίσμασιν.

298 Γραίας ἐρείκης ἄφαντες πτρί: Ἐπὶ τῶν [q]ἀχρήστως καὶ B ὀξέως [r]γινομένων. Ἐρείκη γὰρ φυτὸν ἄγριον ὃ γινόμενον αὖον ῥᾳδίως ἐξάπτεται.

299 Γραῦς ἀνακροτήσασα πολὺν κονιορτὸν ἐγείρει: Ἐπὶ τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων.

300 Γυμνότερος παττάλου: Ἐπὶ τῶν σφόδρα ἀπόρων. C

301 Γύγου δακτύλιος: Ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων.

302 Γυπός σκιά: Ἐπὶ τῶν μηδενὸς λόγου ἀξίων.

303 Γυναικὸς πτγή: Ἐπὶ τῶν ἀργῶν· ἢ ὅτι οἴκοι γυναῖκας μένειν χρή.

304 [s]Γυνὴ εἰς Ἡρακλέους οὐ φοιτᾶι: Πρὸς τοὺς ἀναξίους τι- D νῶν πράξεων· παρ' ὅσον Ἡρακλῆς ἐδούλευσεν Ὀμφάλῃ.

305 Γυνὴ στρατηγεῖ καὶ γυνὴ στρατεύεται: Ἐπὶ τῶν παραδόξων.

306 Γυμνὸς ὡς ἐκ μήτρας: Ἐπὶ τῶν ἀπόρων καὶ παντελῶς μηδὲν ἐχόντων.

307 Γυναικὸς φρένες: Ἐπὶ τοῦ ἀνοήτου. E

308 [t]Γύργαθον φυσᾶς: Ἐπὶ τῶν μάτην πονούντων.

296. Vat. I. 50.
297. Vat. I. 32.
[o] Γλαῦκες] Affine illi: *Noctuas Athenas.* Hoc utitur in Avibus Aristophanes [v. 1106.] Γλαῦκες ὑμᾶς οὔποτ' ἐπιλείψουσι Λαυριωτικαί. SCHOTT.
[p] Λαυριωνιτικαὶ B.
298. Vat. I. 52. Æsch. Ag. 286.
[q] ἀχρήστων Vat.
[r] ἠνωμένων A.
299. Diog. III. 97.
300. Diog. III. 98.
301. Diog. III. 99.
302. Vat. I. 51.
303. Suid. p. 856 A.
304. Vat. I. 34.
[s] Γυνὴ] Citatur a Suida. De aliis duobus etiam apud Alexidem titulus Comœdiæ, Γυναικοστρατία. et Maro eodem respexit [Æn. I. 364.] *dux femina facti.* Suidas: *Mulier exercitum ducit.* Quod de re dicitur inopinata. SCHOTT.
305. Diog. IV. 1.
306. Vat. I. 53.
307. Diog. IV. 3.
308. Vat. I. 54.
[t] Γύργαθον] Suidæ interpres non recte *Gurgothum inspiras.* Additque Græcus homo lectum etiam esse, quo dæmoniaci et paralytici jacentes excrucientur. SCHOTT.

309 [u]Γυναικῶν ὄλεθροι: Ἐπὶ τῶν οἰκτρῶς ἀναιρουμένων. Πολ- A
λοὶ γὰρ ὑπὸ γυναικῶν ἀπώλοντο.

310 Γυναικὶ μὴ πίστετε μήδ' ἂν ἀποθάνηι:

311 Γενναῖος εἶ ἐκ βαλαντίου: Ἐπὶ τῶν διὰ τὸν πλοῦτον εὐ-
γενῶν εἶναι δοκούντων.

312 Γέρων ἀλόπηξ οὐκ ἁλίσκεται πάγηι: Ἐπὶ τῶν διὰ χρό- B
νου πλῆθος οὐχ ἁμαρτανόντων.

313 Γλαύκου τέχνην: Ἐπὶ τῶν πάνυ ἐπιμελῶς καὶ ἐντέχνως
εἰργασμένων.

314 [x]Γλυκὺς ἀγκών: Κατὰ ἀντίφρασιν, ἀντὶ τοῦ δυσχερής.

315 Γλῶσσα ποτ πορεύηι, πόλιν ἀνορθώσουσα καὶ πόλιν κα- C
ταστρέψουσα: Ἐπὶ τῶν βλαπτόντων διὰ λόγου ἢ ὠφελούντων.

316 Γυμνότερος ἰαλέμου: Ἐπίρρημα θρήνου. Τάττεται δὲ ἐπὶ
τῶν οἰκτρῶν.

317 Γέρων βοῦς ἀπένθητος δόμοισιν: Ἐπὶ τῶν καθ' ὥραν τε-
λευτησάντων. D

318 Γὺψ κόρακα ἐγγυᾶται: Ἐπὶ τῶν ὁμονοούντων κακίᾳ.

319 Δαΐποτς κρεῶν ἔπιθτμεῖ:

320 Δακτύλου ἡμέρα: Ἐπὶ τῶν εὐημερούντων. Δάκτυλος γάρ
τις Ἀθήνησι γέγονε μεγίστων λαχὼν τιμῶν.

321 Δάτος [y]ἀγαθῶν: Πόλεως ὄνομα ἣν ἀπῴκησαν Θάσιοι, ἐφ' ᾗ E

309. Vat. I. 33.

[u] Γυναικῶν] Exempla plurima femineæ calamitatis passim suppeditant Historici ac Poëtæ: multaque hic Desiderius colligit Adagio, *Mulierum exitia*. Horat. lib. I. Sat. iii. *Nam fuit ante Helenam*, &c. Suidæ, *Mulier pestis*. SCHOTT.

310. Diog. IV. 4.

311. Diog. IV. 6.

312. Diog. IV. 7.

313. Zen. II. 91.

314. Vat. I. 55.

[x] Γλυκὺς ἀγκών] Contra sentit Suidas in Collectaneis, non per *ἀντίφρασιν*, ut hic ait efferri, sed quasi dicas: *O suaves mores!* idque Platonis Comici in Phaone auctoritate, ut in Græco quidem auctore, non in Germano legas interprete, qui omisit multa, plura invertit. Atque utinam emendatior exiret thesaurus ille Suidæ, olim ab Hadr. Junio, nuper etiam ab Æmilio Porto promissus, næ ille nobis labor in densis hisce tenebris facem præferret aliquam. SCHOTT.

315. Vat. I. 49.

316. Vat. I. 56.

317. Zen. II. 97.

318. Vat. I. 57.

319. Diog. IV. 12.

320. Diog. IV. 13.

321. Zen. III. 11.

[y] ἀγαθὸν B. A.

καὶ ἡ παροιμία ἐλέχθη, ὡς ἐχούσης αὐτῆς χρύσεια μέταλλα καὶ A
εὐδαιμονίαν ἄλλην. Τάττεται δὲ ἐπὶ τῶν μεγάλα ἀγαθὰ ἐπαγ-
γελλομένων.

322 ΔΑΦΝΙΝΗΝ ΦΟΡΩ ΒΑΚΤΗΡΙΑΝ: Ἐπὶ τῶν ὑπό τινων ἐπιβου-
λευομένων· παρ' ὅσον ἀλεξιφάρμακον ἡ δάφνη.

323 ΔΕΙΝΗΣ ΑΝΑΓΚΗΣ ΟΥΔΕΝ ΙΣΧΥΤΕΡΟΝ: Ἀνάγκη γὰρ καὶ B
[z]θεοὺς βιάζεται. Καὶ Πλάτων δὲ, "ἀνάγκην δὲ οὐδὲ θεός ἐστι
δυνατὸς βιάζεσθαι."

324 ΔΕΥΤΕΡΩΝ ΑΜΕΙΝΟΝΩΝ: Ἐπὶ τῶν θυομένων ἐκ δευτέρου ὅταν
αὐτοῖς τὰ πρότερα ἱερὰ μὴ καυθῇ, καὶ ἐπὶ δεύτερα τραπῶσι
λέγοντες ΔΕΥΤΕΡΩΝ ΑΜΕΙΝΟΝΩΝ. C

325 ΔΙ' ΟΞΕΙΑΣ ΔΡΑΜΕΙΝ: Ἐπὶ τῶν διακινδυνευόντων. Ὀξεῖαν
γὰρ λέγουσι τὴν λόγχην.

326 ΔΙΚΗΝ ΤΦΕΞΕΙ ΚΑΝ ΟΝΟΣ ΑΚΗΙ ΚΥΝΑ: Ἐπὶ τῶν ἐπὶ μικροῖς
συκοφαντουμένων.

327 ΔΙΣ ΠΑΙΔΕΣ ΟΙ ΓΕΡΟΝΤΕΣ: Ἐπὶ τῶν [a]πρὸς τὸ γῆρας εὐηθε- D
στέρων δοκούντων.

328 ΔΙΣ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΑΙΣΧΡΟΝ ΠΡΟΣΚΡΟΥΕΙΝ ΛΙΘΟΝ:

329 ΔΙΣ ΚΑΙ ΤΡΙΣ ΤΑ ΚΑΛΑ:

330 ΔΩΡΑ ΘΕΟΥΣ ΤΕΡΠΕΙ ΚΑΙ ΛΙΔΟΙΟΥΣ ΒΑΣΙΛΗΑΣ:

331 ΔΕΙΛΟΝ Ὁ ΠΛΟΥΤΟΣ: Παρ' ὅσον οἱ πλούσιοι τὰς οἰκίας E
ἀσφαλίζονται, καὶ κύνας τρέφουσι, καὶ πολλὰς αὐτοῦ ποιοῦνται
φυλακάς.

332 ΔΕΞΙΟΝ ΕΙΣ ΥΠΟΔΗΜΑ, ΑΡΙΣΤΕΡΟΝ ΕΙΣ ΠΟΔΟΝΙΠΤΡΟΝ: Ἐπὶ
τῶν ἁρμοδίως τοῖς πράγμασι χρωμένων.

333 ΔΙΚΗΣ ΔΙΚΑΙΟΤΕΡΟΣ: Καθ' ὑπερβολὴν ἐπὶ τοῦ σφόδρα δικαίου. F

334 ΔΟΥΛΟΤΕΡΟΣ ΜΕΣΗΝΗΣ: Πολλάκις ἀποστάντας Μεσηνίους
ἐδουλώσαντο Λακεδαιμόνιοι, καὶ τούτοις ἐχρῶντο χαλεπώτερον ἢ
τοῖς ἄλλοις δούλοις.

322. Zen. III. 12.
323. Zen. III. 9.
[z] θεὸς B.
324. Zen. III. 15.
325. Zen. III. 13.
326. Zen. III. 20.
327. Diog. IV. 18.
328. Zen. III. 29.
329. Zen. III. 33.
330. Diog. IV. 21.
331. Zen. III. 35.
332. Zen. III. 36.
333. Vat. I. 58.
334. Zen. III. 39. ἀποστάντες

[a] ἀπὸ τοῦ γήρους A. ἀπὸ τῶ γήρα B. μεσηνι B.

335 Δαιδάλοτ ποιήματος: Οἱ μὲν ἐπὶ τῶν παραδόξων ἔργων, οἱ A
δὲ ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας εἰρῆσθαι φασίν.

871. Vat. III. 93.
ⁱ Τυφλῶν] Video Erasmum legisse singulari numero Τυφλὸν ὄνειρον. Diogenianus, ut hîc, multitudinis. SCHOTT. *προσδιαλέγεται* A.
872. Vat. III. 94.

των. Πάρνος γὰρ κυβερνήτης ἦν, ὃς τὴν σκαφὴν ἀπολέσας A
συνεχῶς ἠνώχλει τῷ δήμῳ καὶ τῇ βουλῇ, αἰτιώμενος τοὺς τὸ σκα-
φίον ὑφελομένους.

873 [j]Τῶν ἐπὶ κοσκίνοι: Μαντευομένων δηλονότι. Καὶ τῶν
ἀπὸ τρίποδος, καὶ τῶν ἀπὸ δάφνης.

874 [k]Τήνελλα: Τοῦτο σημαίνει τὴν ἐν τοῖς ἀγῶσι νίκην. Μί- B
μημα γάρ ἐστι τοῦ αὐλητικοῦ ἐνδοσίμου.

875 [l]Τὸ Ἐπιμενίδειον δέρμα: Ἐπὶ τῶν ἀποθέτων εἴρηται.
Ἀπέκειτο γὰρ κατά τι λόγιον τοῖς Λακεδαιμονίοις τὸ τοῦ Ἐπι-
μενίδου δέρμα. Ἐβίω δὲ οὗτος, ὡς φησὶν ὁ Θεόπομπος, ἔτη
ἑκατὸν πεντήκοντα καὶ ἑπτά· ἅπερ ἕπτα ἐκαθεύδησεν. C

876 Τὰ Σαμίων [m]ὑποπτεύσεις: Ἐπὶ τῶν δεδιότων τινὰς ἀνη-
κέστους κακῶν προδοσίας.

877 Τὸ Αἰσωπεῖον αἷμα: Ἐπὶ τῶν [n]δυσεκνίπτοις ὀνείδεσιν ἐμ-
πεπτωκότων. Τοῖς γὰρ Δελφοῖς ἀνελοῦσι τὸν Αἴσωπον συνέβη
τὸ δαιμόνιον χαλεπῆναι. D

873. Vat. III. 95.

[j] Τὰ ἐπὶ κοσκίνῳ] Suidas bis adhibet, ibidemque illud: Τὰ ἐκ τρίποδος. SCHOTT. Τῶν A.

874. Vat. III. 96.

[k] Τήνελλα] Τήνελλος et Τήνελλα lyræ etiam harmonia est, victoriam denuntians: non tamen est classicum canere aut receptui, ut in pugna solenne. Ἐνδόσιμος vero qui rhythmus sit, explicat in Comment. Budæus. SCHOTT. v. Schol. Aristoph. Ach. 1228.

875. Vat. III. 97.

[l] Τὸ Ἐπιμενίδειον] Est in Diogeniani proverb. De somno autem Epimenidis, ut et Endymionis, non eadem omnibus sententia est. M. Varro enim et Plutarchus quinquaginta dormiisse annos putant: septem bis C. Plinius adjicit lib. VII. Nat. histor. cap. 52. Laërtius vero quadraginta septem: ut hîc ζ addendum opiner μζ, vel νζ. Proverb. quoque exstat, *Ultra Epimenidem dormire*, ex illo Luciani in Timone [c. 6.] Ὑπὲρ τὸν Ἐπιμενίδην κεκοίμησαι. Vide Pet. Victorium lib. XXIV. cap. 1. Variar. lect. SCHOTT.

876. Vat. III. 98.

[m] Suidas ἀποπτύειν legit, redditque Germanus interpres *expuis*. Ego vero nihil demuto. Mox pro ἀνηκέστους, quod hîc scriptum repperi, reposui ἀνηκούστους. In Suida tamen, ne quid dissimulem, ἀνηκέστους κακῶν passim editum. De Samiis autem litteratis, bellique stigmate compunctis, nos ad Zenob. Adag. *Samiorum mala*. SCHOTT.

877. Vat. III. 99.

[n] δυσεκνίπτοις] Suidas legit δυσαπορρίπτοις: Diogenianus vero δυσαπονίπτοις Centuria 1. Et mox legi malim περιπεπτωκότων. De nece Æsopi in ejus vita Maximus Planudes, et Joach. Camer. SCHOTT.

878 Τοὺς κόσσα λόγους: Κόσσας ἀνὴρ δίκαιος, Πελανεὺς τὸ A
γένος· οἱ δὲ Πελανεῖς οὗτοι πόλεμον ἔχοντες πρὸς Σαλαμινίους
ἐπεκαλέσαντο συμμάχους τοὺς γείτονας, ὁμολογήσαντες αὐτοῖς
μεταδώσειν τῆς χώρας. Νικήσαντες οὖν οὐ μετέδωκαν, τοῦ Κόσσα
συμβουλεύοντος ταῖς ὁμολογίαις ἐμμένειν· ἀνθ' ὧν λοιμῷ περι-
πεσόντες τοὺς Κόσσα λόγους ἐπῄνουν. B

879 Τὸν ἀτλητὴν ἀτλεῖν: Αὐλητὴς ἐγένετο μὴ πάνυ τοῖς αὐλη-
τικοῖς ἐμμένων νόμοις, ἀλλὰ παρακινῶν, ὅθεν ἡ παροιμία.

880 Τὸ παρὰ δρῦν σκότος: Ἀριστοτέλης φησὶν ἐν τῇ Σαμίων
πολιτείᾳ Πριηνέας πολλοὺς ὑπὸ Μιλησίων ἀναιρεθῆναι περὶ τὴν
καλουμένην Δρῦν. Ὅθεν καὶ τὰς Πριηνέας γυναῖκας ὀμνύναι τὸ C
παρὰ τὴν Δρῦν σκότος.

881 Τὸ σκαλικὸν πτλον οὐδέποτ' ὀρθόν: Αὕτη δημώδης.
Λέγεται δὲ ἐπὶ τῶν διάστροφα πράγματα κατευθύνειν πειρωμένων,
καὶ μηδὲν ὠφελούντων.

882 Τὸ °Φρυνίχου πάλαισμα: Κατὰ τῶν φρονίμως καὶ συνετῶς D
σοφιζομένων. Θουκυδίδης ἱστορεῖ, ὅτι Φρύνιχος Ἀθηναίων στρα-
τηγὸς ἐν Σάμῳ, μελλόντων τῶν στρατιωτῶν κατάγειν Ἀλκιβιά-
δην, ἐδήλωσε τῷ ναυάρχῳ Λακεδαιμονίων ὁ Φρύνιχος, ὅτι βούλοιτο
αὐτῷ προδοῦναι τὸ στράτευμα. Λαβόντος δὲ τὴν ἐπιστολὴν Ἀλ-
κιβιάδου, καὶ πέμψαντος τοῖς Ἀθηναίοις, παρὰ μικρὸν ἐλθὼν ἀπο- E
λέσθαι ὁ Φρύνιχος, γράφει πάλιν τῷ ναυάρχῳ τὸ γεγονὸς, αἰτιώ-
μενος καὶ φάσκων τὸ στράτευμα πάλιν προδώσειν αὐτῷ εἰ ἐπέλ-
θοι. Σημάνας δὲ προηγόρευσε τοῖς στρατιώταις δευτέραν ἥξειν
ἐπιστολὴν κατ' αὐτοῦ παρὰ Ἀλκιβιάδου, καὶ πολεμίων ἐφόδου
ἐσομένης φυλάξασθαι. Οὕτως δὲ γεγονότων τούτων, καὶ κομιζόν- F
των μὲν τῶν γραμμάτων, γενομένης δὲ τῆς ἐφόδου, ἐπίστευσαν οἱ

878. Suid. p. 3596 D.
879.
880. Zen. VI. 12.
881. Vat. III. 100.
882. Vat. IV. 1.

° Φρυνίχου πάλαισμα] Eadem Suidas. Desiderius *luctam* nunc *luctationem* vertit. Mihi magis placet *calliditas*, aut *inventum*. Quid autem sit πάλαισμα docet Pet. Victorius lib. II. Variar. lect. cap. 10. et lib. XXI. cap. 2. Thucydidæ narratio est lib. VIII. [c. 50.] belli Pelopon. p. 588. 589. ubi *Astyochum* nominat Lacedæmoniorum classis nauarchum. SCHOTT. Suidas, σημήνας δὲ, οὕτως—π. ἔφοδον ἑπομένων—συμβάντων δὲ οὕτως τ. κ. κομισθέντων.

στρατιῶται πάντα καὶ τὰ νῦν καὶ τὰ πρότερα κατὰ τοῦ Φρυνίχου A
δι' ἔχθραν ὑπ' Ἀλκιβιάδου γεγενῆσθαι.

883 Τὸ ἈΡΝΊΟΝ ΣΟΙ ΛΕΛΆΛΗΚΕΝ: Αἰγύπτιοι τοῦτό φασιν, ὅτι ἀνθρωπείᾳ φωνῇ τὰ μέλλοντά τινι τῶν βασιλέων λελάληκεν.

884 Τὸ Ἡσιόδειον ΓΗΡΑΣ: Ἀριστοτέλης ἐν Ὀρχομενίων πολιτείᾳ δὶς [P]τεθάφθαι φησὶ τὸν Ἡσίοδον, καὶ ἐπιγράμματος τοῦδε B
τυχεῖν·

Χαῖρε δὶς ἡβήσας, καὶ δὶς τάφων ἀντιβολήσας,
Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης.

παρ' ὅσων τότε γῆρας ἀπέβη, καὶ δὶς ἐτάφη.

885 Τὸ ΜΗΛΙΑΚΟΝ ΠΑΟΊΟΝ: Ἐπὶ τῶν [Q]ἄγαν ῥεόντων. Φησὶ γὰρ C
Ἀριστοτέλης, Ἱππότην εἰς οἰκίαν ἀποστελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταρᾶσθαι. Ἐπειδὴ γὰρ προφασιζόμενοι οἱ μὲν τὰς γυναῖκας αὐτῶν ἀρρωστεῖν, οἱ δὲ τὰ πλοῖα ῥεῖν, κατέμενον, κατηράσατο μήτε πλοῖα στεγανὰ γενέσθαι ποτὲ, καὶ ὑπὸ τῶν γυναικῶν ἀεὶ κρατεῖσθαι. D

886 Τῶν ΦΙΛΤΆΤΩΝ ΤΑ ΦΊΛΤΑΤΑ: Μηλίοις ἀνεῖλεν ὁ θεὸς φιλεῖν τῶν φιλτάτων τὰ φίλτατα. Μέχρις οὗν ἐτῶν δέκα ἐξ γυμνοὺς περιέφερον τοὺς παῖδας, καὶ κατεφίλουν ἐν Ὀλυμπίᾳ.

887 Τὸ ΔΩΔΩΝΑΊΟΝ ΧΑΛΚΕΊΟΝ: Ἐπὶ τῶν πολλὰ λαλούντων καὶ μὴ διαλειπόντων. Ἐν Δωδώνῃ γὰρ ἐπὶ κίονος χαλκεῖον ἵστατο· E
ἐπὶ δ' αὐτοῦ πλησίον παῖς ἐξηρτημένος μάστιγα χαλκῆν πνεύματος κινοῦντος εἰς τὸν λέβητα ταύτην ἐνέβαλλε, καὶ [R]οὕτως ἦχος ἀπετελεῖτο μέγας.

888 Τὸν ΥΛΑΝ ΚΡΑΤΡΆΖΟΤΣΙΝ: Ἐπὶ τῶν μάτην πονούντων καὶ βοώντων. Ἐπειδὴ τὸν Ὕλαν ἀφανῆ γενόμενον ὁ Ἡρακλῆς ἀπο- F
βὰς τῆς Ἀργοῦς, ζητήσας οὐχ εὗρε. Καὶ ἔτι δέ φασι τοὺς Κιανοὺς ὡρισμένην ἡμέραν κατ' ἔτος ἀνακαλεῖσθαι τὸν Ὕλαν.

883. Vat. IV. 2.

884. Vat. IV. 3.

P τετράφθαι A.

885. Vat. IV. 4.

Q ἄγαν ῥεόντων] Suidas habet ἄγαν ἐκρεόντων pro ῥεόντων, et εἰς ἀποικίαν. Mox etiam legas: καὶ γυναικοκρατεῖσθαι. Turbat hîc Erasmus, vitioso Suidæ usus exemplari Græco, dum hîc *Aristotelem* nescio quem *Meliacum* somniat. SCHOTT.

886. Vat. IV. 5.

887. Zen. VI. 5.

R οὗτος A.

888. Diog. VIII. 33.

889 [s]Τὸ Θετταλὸν σόφισμα: [1]Ἐπὶ τῶν σοφιζομένων καὶ κακ- A
ουργούντων. Ἀπὸ Μένωνος τοῦ τῷ Κύρῳ τῷ νεωτέρῳ συναναβάντος, ὃς προύδωκεν Ἀρταξέρξῃ τοὺς Ἕλληνας.

890 Τενέδιος ἄνθρωπος: [1]Ἐπὶ τῶν φοβερῶν τὰς ὄψεις.

891 [t]Τοῦ δ' ἄρ' ὁ Κωρτκαῖος ἠκροάζετο: Πειραταῖς τισί τινες τῶν ἐκ Κωρύκου συνέπραττον, καὶ περιεργαζόμενοι τῶν πλε- B
όντων τὰ φορτία, καὶ καθ' ἣν ἡμέραν ἀποπλεύσουσιν ἐμήνυον ταῦτα τοῖς πειραταῖς. Τοῦτο μαθόντες οἱ ἔμποροι ἀπέκρυπτον τὰ πολλά· ἐπειδὴ δὲ καὶ οὕτως ἔνια τοῖς πειραταῖς ἐμηνύετο, ἐκράτησεν ἡ παροιμία ἐπὶ τῶν δοκούντων μὲν λάθρα πράττεσθαι εἰς γνῶσιν δὲ ἐρχομένων. C

892 Τριτώνος λαλίστερος: Μέμνηται ταύτης Μένανδρος ἐν Πλοκίῳ. [1]Ἐπειδὴ αἱ τρυγόνες οὐ μόνον τοῖς στόμασι ἀλλὰ καὶ τοῖς ὀπισθίοις μέρεσιν ἠχοῦσι. Τάττεται δὲ ἐπὶ τῶν πολλὰ λαλούντων.

893 Τὰ τρίτα τῶν εἰς θάνατον: [1]Ἐπὶ τῶν λ τῶν καταγινωσκο- D
μένων θανάτῳ προεφέρετο γ, ξίφος, βρόχος, κώνειον.

894 Ταῦτα σοὶ καὶ Πύθια καὶ Δήλια: Πολυκράτης ὁ Σάμου τύραννος ἑλὼν [1]Ῥηνίαν καὶ ἀναθεὶς αὐτὴν Ἀπόλλωνι τῷ Δηλίῳ, ἀγῶνα θεὶς κάλλιστον, ἠρώτα πέμψας εἰς Δελφοὺς πῶς δεῖ καλεῖν τὸν ἀγῶνα, Δήλια ἢ Πύθια. Ἀνεῖλε δὲ αὐτὸς ὁ θεὸς, ταῦτά E
σοι καὶ Δήλια καὶ Πύθια. [1]Ἐσήμαινε δὲ αὐτῷ ὅτι εὐθὺς ἀπιθανεῖται· [1]Ὀροίτης γὰρ αὐτὸν ὁ Πέρσης ἐσταύρωσεν. Εἴρηται ἐπὶ τῶν ὕστατα καὶ τελευταῖα ποιούντων.

895 Τῶν εἰς τὴν φαρέτραν: Φύλαρχος φησὶ τοὺς Σκύθας ἀλύπως τὴν ἡμέραν διαγαγόντας ψῆφον ἐμβάλλειν εἰς τὴν φαρέτραν F
λευκὴν, ὀχληρῶς δὲ μέλαιναν· ἐπὶ τῶν ἀποθνησκόντων τοίνυν

889. Vat. IV. 6.
[s] Τὸ Θετταλὸν] Zenobius refert Centur. IV. Adag. 29. et Suidas semel iterumque Centuria VII. SCHOTT.
890. Zen. VI. 9.
891. Vat. IV. 7.
[t] Τοῦ δ' ἄρα ὁ Κωρυκαῖος] Zenobius totidem pæne verbis Centuria IV. Adag. 75. Κωρυκαῖος ἠκροάζετο. Et Suidas. In extremo tamen, εἰς γνῶσιν δὲ ἐρχομένων. Equidem pro διεξερχομένων, divisa voce reposui δὲ ἐξερχομένων. SCHOTT.
892. Zen. VI. 8.
893. Zen. VI. 11.
894. Zen. VI. 15.
895. Zen. VI. 13.

ἀριθμεῖν τοὺς ψήφους· καὶ εἰ πλείους αἱ λευκαὶ ηὑρίσκοντο, ηὐ- A
δαιμόνιζον τὸν ἀπογενόμενον· ὅθεν παροιμιασθῆναι τὴν ἀγαθὴν
ἡμέραν συνέβη, λεγόντων τῶν ἐκ τῆς φαρέτρας ὑπάρχειν. Καὶ
Μένανδρος τὴν ἀγαθὴν ἡμέραν λευκήν φησιν ἐν Λευκάδι.

896 [u]Τὰ πολλὰ πράττειν οὐκ ἐν ἀσφαλεῖ βίῳ: Ἐπὶ τῶν εἰς
κίνδυνον ἐμπιπτόντων διὰ τὸ πολλὰ πράττειν. B

897 [v]Τὰ ἐκ τῶν ἁμαξῶν: Ἐπὶ τῶν ἀσελγέστερα σκωπτόντων
τάττουσι ταύτην. Ἀθήνῃσι γὰρ ἐν τοῖς Διονυσίοις μεθυσθέντες
κωμάζουσι, μεθ' ἡμέραν δὲ τοὺς ἀπαντῶντας σκώπτουσιν ἐφ'
ἁμαξῶν καθήμενοι.

898 Τὸ δέ τοι κλέος [x]ἐσσομένοιο: Ἐπὶ τῶν δαιμονίως γενέσθαι C
προδηλουμένων φήμῃ τινι.

899 [y]Τὸν Κολοφῶνα ἐπέθηκε: [z]ιβ' πόλεις τῆς Ἰωνίας συνῄε-
σαν εἰς τὸ Πανιώνιον λεγόμενον περὶ τοῦ κοινοῦ βουλευσόμενοι·
καὶ εἴποτε ἴσοι αἱ ψῆφοι ἐγένοντο, περίττην ἐτίθεσαν τὴν νικῶσαν.
Σμυρναίους γὰρ ἐλθόντας εἶχον συνοίκους, ὑπὲρ ὧν καὶ τὴν ψῆφον D
ἐτίθεντο. Ὅθεν ἐπὶ τῆς κρατούσης καὶ βεβαιούσης εἴρηται
ψήφου.

900 [a]Ταινάριον κακόν: Τὸ μέγα καὶ παρανομούμενον εἰς οἰ-

896. Vat. IV. 8.

[u] Τὰ πολλὰ] Senarius hic indicat, quod et vulgo in ore: verumque est Epicuri illud, *Felicem qui lateat, vivatque obscurus.* SCHOTT.

897. Vat. IV. 9.

[v] Τὰ ἐκ τῶν ἁμαξῶν] Vide Horatii interpretes ad illud in Arte poëtica versu 276. *plaustris vexisse poëmata Thespis Qui canerent, agerentque peruncti fæcibus ora.* Et plura hîc Suidas. SCHOTT.

898. Vat. IV. 10.

[x] Ἐσσομένοιο] Sic Vatic. Puto rescribendum ἐσσομένοισι. Similia habet, etiam proverbii specie Hom. Ιλ. γ'. ver. 287. et 460. Ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται. SCHOTT.

899. Vat. IV. 11.

[y] Τὸν Κολοφῶνα] Locus depravatus et mutilus. Proverbium a superiore avellimus, pertinetque ad *Colophonium suffragium*, ubi Des. Erasmus explanat. Alibi *Colophonium addidit:* de cujus origine diversa adferunt Hesychius et Strabo lib. Geogr. XIV. [p. 921=952.] nec ipsi inter se consentiunt, adferuntque longe ab his diversa. *Jabenus* Græcus scriptor, quem Adagio *Colophonium suffragium* auctorem laudat Chiliastes Batavus, mihi fando inauditus est, nisi si *Iulon* aut ejus farinæ est quispiam. Vide et *Minervæ suffragium.* SCHOTT. Vid. Schol. Platon. p. 18. Aristid. p. 627.

[z] μ' A.

900. Vat. IV. 12.

[a] Ταινάριον] Crudelitatis Laco-

κέτας. Λακεδαιμόνιοι γὰρ τοὺς εἰς Ταίναρον καταφυγόντας τῶν A
εἱλώτων ἀπέκτειναν.

901 Τίς τρόπος ἵππων: Ἐπὶ τῶν παρηλλαγμένων καὶ ἀλλόκοτόν
τι ποιούντων.

902 [b]Τὰ πρῶτ' ἀρίστοτς παῖδας Αἴγινα τρέφει: Ἐπὶ τῶν ἐν
ἀρχῇ κοσμίων, μετὰ δὲ ταῦτα ἀσελγαινόντων. B

903 Τί οἴ γενήσηι [c]ἰὼν εἰς Ἀρβέλας: Ἀρβέλα πόλισμα Σι-
κελῶν. Οἱ δὲ ἐνοικοῦντες ἐκεῖσε ἐδόκουν εὐεξαπάτητοι εἶναι.

904 Τὰ ἐκ παλαιοῦ: Λείπει τὸ Τύρου. [d]Τύρον γὰρ τὴν παλαιὰν
Ἀλέξανδρος ὁ Μακεδὼν πολλῇ χειρὶ ἐπελθὼν διέθηκε τὰ χαλε-
πώτατα, ὥστε τὴν πόλιν κατασκάψαι· τοὺς δὲ πολίτας οὓς μὲν C
ἀνασκολοπίσαι, οὓς δὲ κατακαῦσαι. Ἐκ τούτου γοῦν ἡ παροιμία
ἐπὶ τῶν κακῶς διακειμένων.

905 Τὰς ἐν [e]Ἀιδοτ τριακάδας: Τιμᾶται ἡ τριακὰς ἐν [e]Ἀιδου
[e]διὰ τὴν Ἑκάτην μυστικώτερον, ᾗ καὶ τὰ τρία ἐπιβύεται· ἐπεὶ
καὶ αὐτὴν τὴν Ἑκάτην φασὶ Τριτογενῆ εἶναι. Καὶ γὰρ Ἀθηνᾶ D
καὶ Ἄρτεμις καὶ Ἑκάτη αἱ τρεῖς δοκοῦσιν ἓν εἶναι. Τὸ γοῦν

num in Helotas supplices in Neptuni templo historiam narrat Thucydides libro I. et Suidas in Collectaneis. SCHOTT.

901. Suid.

902. Vat. IV. 13.

[b] Τὰ πρῶτ' ἀρίστους] Habet Diogenianus et Suidas: hic etiam eodem principio sensuque adagium adfert: Τὰ πρῶτα Ἄρης εἰς τοὺς παῖδας ἐπηνείτο. Ut de Neronis Aug. quinquenario, quo bonus fuit, Suetonius et alii referunt. SCHOTT.

903. Vat. IV. 14.

[c] ἰὼν] Pro ἰὼν Apostolius editus τυγχάνων habet. Stephanus Siculis urbibus Arbelas adnumerat. Persidi etiam Strabo lib. XVI. et in Mesopotamia Q. Curtius. SCHOTT.

904. Vat. IV. 15.

[d] Τύρου] De Tyri laboriosa obsidione idem Q. Curtius et Arrianus; et nos Vitis comparatis Aristot. et Demosthenis. SCHOTT.

905. Vat. IV. 16.

[e] διὰ τὴν Ἑκατὴν] De Hecate triformi, quæ et Pallas, et Diana, hoc quoque loco Diogenianus, et pleni sunt Poëtarum libri. Maro: *Tergeminamque Hecatem, tria virginis ora Dianæ.* Naso: *Tuque triceps Hecate.* Ausonius in Gripho ternarii. Et multa congessit Lilius Giraldus Syntagmate Deorum XII. et XVII. de canibus illi solitis immolari, ut quæ eadem Diana sit. Aristophanis autem in Pluto enarrator ternas enumerat, Lunam, Dianam, Hecaten, pro eadem, ut σελήνην pro Ἀθηνᾷ ponat; sed nihil in fabulis Deorum certi, involucra cum sint nugarum. Addit et cenam Hecatæ apponi a ditibus solitam, qua pauperes rapta vescerentur. SCHOTT.

μυστικὸν Ἑκάτη ἡ Φερσεφόνεια καλεῖται, τῶν ὑποχθονίων δεσπό- A
τις. Ὅθεν καὶ ἀφιδρυμένη Ἑκάτη πρὸς ταῖς τριόδοις ἐστὶ, καὶ
τὰ νεκύσια τῇ τριακάδι ἄγεται. Λεχθείη δ' ἂν ἡ παροιμία
ἐπὶ τῶν περιέργων καὶ τὰ ἀποκεκρυμμένα ζητούντων γινώσκειν.

906 Τὸ Πάσητος ἡμιωβόλιον: Οὗτος ἐπὶ μαλακίᾳ καὶ μαγείᾳ
διεβεβόητο, ὥστε καὶ ἐκ τῶν ἐπαοιδῶν αὐτῶν καὶ δεῖπνα πολυ- B
τελῆ ὁρᾶσθαι, καὶ διακονουμένους τινὰς, καὶ πάλιν ἀφανεῖς γινο-
μένους. Εἶχε δὲ καὶ ἡμιωβόλιον [f]πεποιημένον ὑπ' αὐτοῦ τοῖς
πιπράσκουσιν. Ὠνούμενος γοῦν δι' αὐτοῦ ὅπερ ἠβούλετο, πάλιν
ἑαυτῷ τοῦτ' ἀνελάμβανεν.

907 Τὸ βασιλικὸν βοίδιον: Ἐπὶ Πτολεμαίου τοῦ νέου Διονύσου C
βασιλεύοντος βοῦς ἔτεκεν ἐξ βοΐδια· οἰωνὸν δὲ ἀγαθὸν τὸ συμ-
βεβηκὸς λαβὼν ὁ Πτολεμαῖος, προσέταξεν ἐν τοῖς βασιλείοις
μετὰ πάσης πολυτελείας τρέφεσθαι, διὸ καὶ βασιλικὸν ἐκλήθη.

908 Τὸ Δίωνος γρύ: Δίων ὁ Ἀλεξανδρεὺς γέγονεν ἐπὶ φιλοσοφίᾳ
διαβόητος. Λοιδορούμενος ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ Διονυσίου D
τοῦ παλαιστοῦ, ὃν ψιόνιον ἐκάλουν, καὶ ἀκούων ῥητὰ καὶ ἄρρητα,
καί τοι πολλοῦ παρακολουθοῦντος ὄχλου, αὐτὸς μὲν οὐδὲν ἐφθέγ-
ξατο, τὸ τῆς φιλοσοφίας παράγγελμα τηρῶν· ἐντὸς δὲ τοῦ
ἰδίου πυλῶνος γενόμενος καὶ μηδὲν ὀργῆς ὑποφήνας, εἶπε πρὸς τὸν
νεανίσκον οὐδὲ γρύ. Ἐπὶ τοῦ μικροῦ καὶ τοῦ τυχόντος. Καὶ E
γὰρ τὸν ἐν τοῖς ὄνυξι ῥύπον γρὺ λέγομεν, καὶ γρυτάρια τὰ κατὰ
τὴν οἰκίαν σκευάρια λεπτὰ, καὶ γρυπῶλον τὸν τὰ σκευάρια πω-
λοῦντα.

909 Τὰ μηδὲν πρὸς τὸν Διόντιον: Ἐπὶ τῶν τὰ ἀνοίκειά τισι
προσφερόντων. F

910 Τὶς ἐν Κύδωνος: Ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς ξέ-
νους. Ἀπὸ Κύδωνος Κορινθίου φιλοξένου.

911 [g]Τὴν Συρρακοσίων δεκάτην: Δήμων Συρακουσίους εὐδαι-

906. Vat. IV. 17.
[f] Πεποιημένον αὐτῷ. emendavi e Suidæ Collect. cum vitiose scriptum esset in Vat. memb. ποττημένον αὐτοῦ, voce nihili. Ἐπαοιδὸς, καὶ Ἐπῳδὸς quid, vide Suidam et Hesych. SCHOTT.
907. Diog. VIII. 41.
908. Suid.
909. Vat. IV. 18.
910. Vat. IV. 19.
911. Vat. IV. 20.
[g] Τὴν Συρακουσίων] Sic adagium Desiderius aptavit: αὐδὲ τὴν δεκά-

μονήσαντάς φησι ψηφίσασθαι τὴν δεκάτην τῶν ὑπαρχόντων ἀπο- A
διδόσθαι εἰς ἐπισκευὴν ναῶν τε καὶ ἀναθημάτων καὶ θεωριῶν· πολ-
λοῦ τε χρήματος συναχθέντος, εἰς παροιμίαν ἐλθεῖν, ὡς καὶ τὴν
Πριηνέων δεκάτην.

912 [h]Τὴν ἱερὰν ἄγκυραν: Ἐπὶ τῶν μελλόντων τελευταῖον εἰ-
πεῖν ἐπιχείρημα τῶν πάντων μέγιστον, ἀπὸ τῆς ἐν τῇ νηὶ ἀγκύρας B
ἱερᾶς καλουμένης, ἤτοι μεγίστης, ἢ τελευταῖα πάντων βάλλεται
εἰς θάλασσαν, χειμῶνος αὐτὴν σφόδρου κατειληφότος.

913 Τὸ ἐν τῇι καρδίαι τοῦ νήφοντος ἐν τῇι γαύσσηι τοῦ
μεθύοντος: Ἀπὸ τῶν ἐν μέθῃ ταληθῆ λεγόντων.

914 Τὸ πέλαγος πρότερον οἴσει ἀμπέλους: Ἐπὶ τῶν ἀδυνά- C
των.

915 Τὸν κάπνον φεύγων εἰς τὸ πῦρ ἐνέπεσον: Ἐπὶ τῶν τὰ
μικρὰ τῶν δεινῶν ἐθελόντων φυγεῖν, καὶ εἰς μείζονα ἐμπιπτόντων.

916 [i]Τυδεὺς ἐκ στφορβίου: Ταύτην λελέχθαι φασὶ διὰ τὸ ἀδιά-
θετον καὶ ἀπαίδευτον τοῦ Τυδέως. Τὴν γὰρ θυγατέρα Ἱππονόου D
Περίβοιαν Οἰνεὺς βιάζεται. Γνοὺς δὲ ταύτην ἔγκυον οὖσαν ὁ
πατὴρ, ὑφορβῷ παρέδωκε μετὰ τοῦ γεννωμένου παιδὸς τοῦ Τυδέως.

917 Ὕπνος δ' ἀπέστω γλαυκότητος ὀμμάτων: Ἐπὶ τῶν βου-
λομένων φιλοσοφεῖν.

918 Ὑς ἐπὸ Ῥόδαλον: Παροιμία παρὰ Δεινολόχῳ ἐπὶ τῶν ἑαυ- E
τοὺς εἰς ὄλεθρον ἐμβαλλόντων.

τὴν Συρακουσίων ἔχει, e Strabone libro VI. Geogr. [p. 389=414.] qui et alibi de Biante Prienensi, cujus justitia proverbio quoque locum dedit, ut hîc rescribendum in extremo Πριηνέως δίκην pro δεκάτην existimem, nisi quid secus doctis hominibus videatur. *Syracusanæ* etiam *epulæ, mensæque Siculæ* proverbiis celebrantur. SCHOTT.

912. Vat. IV. 21.

[h] Τὴν ἱερὰν] Vide in Suida, χαλάσω τὴν ἱερὰν ἄγκυραν, [p. 3868 A.] SCHOTT.

913. Vat. IV. 22.

914. Vat. IV. 23.

915. Vat. IV. 24.

916. Vat. IV. 25.

[i] Τυδεὺς] De *Tydeo* hoc, ejusque adagio, nihil equidem comperi. Illud tantum, missam videri constupratam filiam Peribœam in subulci domum, quam Tydeus prioris oblitus domus frequentare non erubuerit. Hæret hîc alioqui aqua. Et mox ἔγκυον reponendum, etsi in Vatic. esset membranis ἔγγυον. SCHOTT. Vid. Apollodor. I. 8, 5.

917. Vat. IV. 26. Arist. Nub. 705.

918. Vat. IV. 27.

919 Ὑς ἐκάμασεν: Ἐπὶ τῶν ἀκόσμως τι ποιούντων. A

920 Ὑς ὑπὲρ ὄπλον ἀραμεῖται: Ἐπὶ τῶν ἑαυτοὺς εἰς ὄλεθρον ἐμβαλλόντων.

921 [k] Ὕφαλος φάτις: Ἐπὶ τῶν κρυφίων.

922 Ὕπερον κοσμεῖς: Ὅμοιον τῷ ἅτραν ποικίλλεις.

923 Ὑπέροτ περίτροφον: Γρ. ἐπίτροπον. Ἐπὶ τῶν πάντα τὰ B αὐτὰ ποιούντων καὶ μηδὲν περαινόντων.

924 Ὑπερ τὰ ἐσκαμμένα πηδᾶν: Ἀπὸ Φαύλλου τοῦ πεντάθλου τόδε, εἰς ὃν ἐπεγέγραπτο,

Πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάυλλος.

Ἐπεὶ γὰρ ὑπὲρ τοὺς ἐσκαμμένους ἢ πόδας ἑτέρους ἔ εἰς τὸ στε- C ρεὸν ἐπήδησεν, εἰς παροιμίαν περιέστη.

925 Ὕδωρ παρρέει: Αὕτη τάττεται ἐπὶ τῶν ἐκ παντὸς ἔργου ἐπαγγελλομένων καταπράξασθαι τὸ προκείμενον. Μετενήνεκται δὲ ἀπὸ τῶν ὑπὸ σπουδῆς εἰς ῥέοντα πλοῖα εἰσβαινόντων.

926 Ὑπὲρ ὄνοτ σκιᾶς: Φασὶν ὅτι Δημοσθένης ὁ ῥήτωρ ἀπολο- D γούμενος ὑπέρ τινος κινδυνεύοντος, οὐκ ἀνεχομένων τῶν δυναστῶν, εἶπεν· Ἀκούσατε, ὦ ἄνδρες, διηγήματος τερπνοῦ· Νεανίσκος ποτε ὄνον ἐμισθώσατο Ἀθήνηθεν Μεγάραδε, μεσημβρίας δὲ κατα- λαβούσης, καταλύσας τὸν γόμον ὑπῆλθε τὴν σκιὰν τοῦ ὄνου· ἐκ- βαλλόμενος δὲ ὑπὸ τοῦ ὀνηλάτου, πρὸς βίαν διεφέρετο, μεμισθῶ- E σθαι καὶ τὴν σκιὰν λέγων· ἀντιλέγοντος δὲ τοῦ ὀνηλάτου, καὶ φάσκοντος τὸν ὄνον μεμισθωκέναι, εἰς δικαστήριον εἰσῆλθον ἀμφό- τεροι. Εἰπὼν δὲ ταῦτα ὁ Δημοσθένης, κατέβαινεν ἐκ τοῦ βήμα- τος. Ἀξιούντων δὲ τῶν δικαστῶν τῆς δίκης τὸ τέλος μαθεῖν, εἶπεν, ἀναβὰς πάλιν ἐπὶ τοῦ βήματος· Ὑπερ μὲν ὄνου σκιᾶς F ἀκούειν, ὦ ἄνδρες, ἐπιθυμεῖτε, ἀνθρώπου δὲ κινδυνεύοντος ὑπὲρ ψυχῆς οὐδὲ τῆς φωνῆς ἀνέχεσθε; Ἄλλοι δὲ λέγουσιν ὅτι Ἀθή- νηθεν εἰς Δελφοὺς τὸν ὄνον ἐμισθώσατο. Τάττεται δὲ ἐπὶ τῶν περὶ μηδενὸς χρησίμου φιλοτιμουμένων.

919. Vat. IV. 28.
920. Vat. IV. 29.
921. Vat. IV. 30.
[k] Ὕφαλος] Tralatio elegans a saxis ὑφ' ἅλος κεκρυμμένοις. SCHOTT.
922. Vat. IV. 31.
923. Zen. VI. 25.
924. Zen. VI. 23.
925. Zen. VI. 24.
926. Zen. VI. 28.

927 Ἄραν τέμνεις: Ἐπὶ τῶν ἀμηχάνων· διὰ τὰς τῆς ὕδρας A
κεφαλάς, ἃς τέμνων ὁ Ἡρακλῆς οὐδὲν μᾶλλον ἐκράτει αὐτῆς
ἀναδιδούσης ἄλλας ἀντὶ τῶν κοπτομένων.

928 Ὑπερβεταῖος: Ἐπὶ τῶν ὑπερχρονίων εἴρηται. Παρὰ γὰρ
Μακεδόσιν ὁ τελευταῖος μὴν τοῦ ἐνιαυτοῦ Ὑπερβεταῖος προσα-
γορεύεται. B

929 Φακοῦ γωνίαν: Ἐπὶ τῶν ἀδυνάτων.

930 Φακὸν κόπτεις: Ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων.

931 Φροτρεῖν ἢ πλοττεῖν: Ἀθηναῖοι φρουραῖς διαλαβόντες τοὺς
νησιώτας, μισθοὺς ἔταξαν μεγάλους τοῖς φυλάττουσιν ὑπ' αὐτῶν
χορηγεῖσθαι τῶν νησιωτῶν. C

932 Φροτρῆσαι ἐν Ναυπάκτοι: Φιλίππου Ναύπακτον ἑλόντος
Ἀχαιοὶ τοὺς φρουροὺς ἀπέκτειναν, ὥς φησι Θεόπομπος.

933 [1]Φιλοξένου λόγον τέτευχεν: Κατὰ τῶν ἑτέρως ἀρνουμένων
ἡ παροιμία. Φιλόξενος γὰρ ὁ Κυθήριος διαφυγὼν τὰς εἰς Συρα-
κουσίων λατομίας εἰς ἃς ἐνέπεσεν, ὅτι Διονυσίου τοῦ τυράννου τὰς D
τραγῳδίας οὐκ ἐπῄνει, διέτριβεν ἐν Τάραντι τῆς Ἰταλίας. Με-
ταπεμπομένου δὲ Διονυσίου αὐτὸν, καὶ ἀξιοῦντος διὰ γραμμάτων,
ὁ Φιλόξενος ἀντιγράψαι μὲν οὐκ ἔγνω, λαβὼν δὲ βιβλίον τὸ στοι-

927. Zen. VI. 26.
928. Zen. VI. 30.
929. Vat. IV. 32.
930. Vat. IV. 33.
931. Zen. VI. 32.
932. Zen. VI. 33.
933. Vat. IV. 37.

1 Φιλοξένου] Respexit credo ad illa adagia: Φιλοξένου γραμμάτιον, *Philoxeni ob.* Et, Ἄπαγέ με εἰς τὰς λατομίας. Apud Suidam, et Desiderium, *In lapicidinas*, Chiliad. II. Centur. 1. Adag. 31. et Chil. III. Centur. 2. Adag. 95. In Suida vero male *Tarentum Siciliæ* dixit, rectius hîc *Italiæ*. Est enim metropolis *Tarentum* in magnæ Græciæ ora. De Philoxeno plura Diodorus, Stobæus, Athenæus lib. I. Cicero lib. IV. ad Atticum epist. 6. Et de Dionysii latomiis Verrina VII. T. Livius, Plutarchus lib. II. de Fortuna Alexandri, Lucianus de mercede servientibus, et in indoctum, Lilius Giraldus Dialogo IX. Histor. Poëtarum. Scriptum autem hîc vitiose in Vaticanis membranis: ὡς Φιλόξενος αὐτῷ γράψαι μὲν οὐκ ἔγνω. Repono: ὁ Φιλόξενος, ut fere Suidas habet in Φιλοξένου γραμμάτιον, sic: Φιλόξενος ἀντιγράφειν οὐκ ἔγνω. Et *a* litteram scripsisse ait, quæ in compositis fere vocibus negat: ε vero noster codex diserte. Quæ prima in ου. Quam negationem hîc Diogenianus et Mich. Apostolius habet, eamdemque Lacones sæpe remisisse tyrannis auctor in Laconicis Plutarchus. SCHOTT.

χεῖον τοῦ ὁ πολλάκις ἐν αὐτῷ περιέγραψε μόνον, εἰς μικρὰ καὶ A
μεγάλα τὸν τοῦ γράμματος χαρακτῆρα τυπώσας, καὶ ὅτι τὴν
παρακλῆσιν διωθεῖται διὰ τοῦτο δηλώσας.

934 Φασηλιτῶν θῦμα: Ἐπὶ τῶν εὐτελῶν καὶ ἀναίμων λέγεται.
Φασὶ γὰρ τοὺς Φασηλίτας τάριχος τοῖς θεοῖς θύειν.

935 [m]Φοινίκων στηθῆκαι: Οἱ τὴν Καρχηδόνα κτίσαντες Φοί- B
νικες ὅτε προσέπλευσαν τῇ Λιβύῃ, ἐδεήθησαν τῶν ἐγχωρίων δέ-
ξασθαι αὐτοὺς νύκτα τε καὶ ἡμέραν. Ἐπιτυχόντες δὲ τούτου, οὐκ
ἐβούλοντο ἀπαλλάσσεσθαι, ὡς συντιθεμένων νύκτας τε καὶ ἡμέρας
μένειν αὐτούς. Λέγεται δὲ ἐπὶ τῶν πανουργευομένων καὶ πονηρῶν.

936 Φωκαέων ἀραί: Οἱ Φωκαεῖς ποτε τῆς ἑαυτῶν γῆς ἐκπεσόντες C
ἐπηράσαντο μηδέποτε κατελθεῖν εἰς αὐτήν. Μέμνηται ταύτης
Ἡρόδοτος ἐν τῇ πρώτῃ.

937 Φαλαρίδος ἀρχή: Ἐπὶ τῶν ὠμῶς τῇ ἐξουσίᾳ χρωμένων.

938 [n]Φαέθοντα τόκον: Ἐπιφανῆ καὶ καταπληκτικὸν τὴν πρόσ-
οψιν. D

939 Φαλακρὸς κτένα, Εὐνοῦχος παλλακήν, Κωφὸς αὐλητήν,
Κάτοπτρον ὁ τύφλος, Ὁ ἠπειρώτης κώπην, Ὁ κυβερνήτης
ἄροτρον: Πάντα ὅμοια ταῦτα. Λέγεται ἐπὶ τῶν ἀχρήστως τι
ἑαυτοῖς ἐμπορευομένων.

940 Χαλεπὰ τὰ καλά: Ἔνιοι τὸν χαλεπὸν ἀκούουσιν ἐπὶ τοῦ E
ἀδυνάτου. Ἀδύνατον οὖν εἶναι ἐφ' ἅπαντα ἀγαθόν.

941 Χαραδραῖος λέων: Ὁ παρὰ ταῖς Χαράδραις, εἰ μὴ ἄρα τὸν
Θεσπιακὸν λέγει, ὃν πρῶτον ἀνεῖλεν Ἡρακλῆς ἐν Θεσπιαῖς Χα-
ράδραις. Χαράδρα δὲ καλεῖται ὁ τόπος.

934. Zen. VI. 36.
935. Vat. IV. 34.
[m] *Φοινίκων*] Dici solitum Suidas est auctor in insidiose paciscentes: cetera ut hîc. Addit tamen similia narrari de Metapontinis e Demone. Adhæc de cavillatione, cum Annibalis militibus Cic. I. Offic. Vide et Had. Junium Cent. I. Adag. 76. *Phœnicum commentum seu mendacium*, ex Platone lib. IV. de Repub. et Strabone lib. III. Geogr. SCHOTT.
936. Zen. VI. 35.
937. Vat. IV. 35.
938. Vat. IV. 36.
[n] *Φαέθοντα*] Corruptum arbitror locum. Suidas hîc *φάων* dictum proverbio ait *ἐπὶ τῶν ἐρασμίων καὶ ὑπερφανῶν*. SCHOTT. Qui fallitur.
939. Vat. IV. 38.
940. Zen. VI. 38.
941. Zen. VI. 39.

942 Χάραξ τὴν ἄμπελον: *Παροιμία ὅταν ἀπὸ τοῦ σώζοντος τὸ* A
σωζόμενον πάθῃ. Ἀναγράφει δὲ αὐτὴν κακῶς Ἀριστοφάνης,
Ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.

943 Χαρώνιος θύρα: *Μία τοῦ νομοφυλακίου θύρα, δι' ἧς οἱ κα-*
τάδικοι τὴν ἐπὶ θανάτου ἐξήγοντο.

944 Χειροβρῶτι δεσμῶι: *Τοῖς πυκτικοῖς ἱμᾶσι. Διὰ τὸ τὰς* B
σάρκας κόπτειν καὶ ἀναλίσκειν. Βέλτιον δὲ τὸν δεσμὸν ἀκούειν,
τὸν ἀποβιβρώσκοντα τῶ χεῖρε.

945 [o]Χαίρειν ἐπιστολαῖς: *Ταῖς ἐπιστολαῖς τὸ χαίρειν προσετί-*
θεσαν, ὡς καὶ Ἀριστοφάνης καὶ Σοφοκλῆς. Ἔστι δὲ καὶ ἀπαλ- C
λασσομένων προσαγόρευσις.

946 Χῖος παραστὰς Κῶον οὐκ ἐᾶι λέγειν: *Ἀπὸ ἀστραγάλων*
[p]*παρῳδήθη ἡ παροιμία· καὶ ἐπὶ Θηραμένους, ἐπεὶ ἐδόκει Χῖος εἶναι.*

947 Χορὸν [q]δίδωμι: *Ἐπὶ τῶν σκώμμασι νικώντων.*

948 [r]Χύτραις δημῶν ἢ κολοκύνταις: *Ἐπὶ τῶν ἀμβλυωττόν-*

942. Zen. VI. 40.
943. Zen. VI. 41.
944. Zen. VI. 44.
945. Vat. IV. 44.

o Χαίρειν] Annotatio potius quam adagium est. Χαίρειν Epistolis inscribi antiquitus solitum, ut εὖ πράττειν καὶ ὑγιαίνειν, auctor Aristophanis interpres ἐν Νεφέλαις v. 619. ad illa verba: πρῶτα μὲν χαίρειν Ἀθηναίοισι. Cleonem ait primum e Pylo et Spacteria Atheniensibus scribentem χαίρειν præscripsisse, quod in usum mox vertit, Platonem vero epistolis εὖ πράττειν inscripsisse. Pythagoreos ὑγιαίνειν καὶ ὑγίεια inscriptum gestasse ἐν πενταγώνῳ. Vide Lucian. De verbo inter salutandum lapso [c. 2.] Latini hinc mutuati. Hor. lib. I. ep. 8. *Celso gaudere et bene rem gerere Albinovano Musa rogata refer.* Ad quem locum varia interpretes. SCHOTT.

946. Vat. IV. 45.

p παρῳδήθη] Παρωθήκη scriptum erat in Vaticano, sed puto παρῳδικὴ verius esse, quia parodiæ formam præfert adagium: vel, quomodo sæpe occurrit ὑποθετικὴ παροιμία. Senarius autem est proverbialis, adjecta voce quæ aberat, Κῶον, e Stratidis Comici fabulis: explicatque Hadrianus Junius Cent. III. Adagio 50. SCHOTT. παρῳδήθη A.

947. Vat. IV. 46.

q δίδωμι] Χορὸν δίδωμι Suidas habet, aliterque explanat, pro, *Patior te laudare ac vincere*, &c. In Vatic. erat διδόω: equidem διδῷ tentabam, vel δίδωμι cum Suida. SCHOTT. Ita Hesych. Nihil ex Paris. a Bastio enotatum. Vid. Schol. Plat. p. 152.

948. Vat. IV. 47.

r Χύτραις] Lucianus in Timone μισανθρώπῳ [c. 2.] Λημᾶς καὶ ἀμβλυώττειν πρὸς τὰ γενόμενα. Apostolius et Suidas in Κρονικαὶ λῆμαι, *Saturniæ lemæ*, apud Erasmum Chiliad. IV. Centuria 6. Adagio 61. Vitiose

των. Δηλοῖ δὲ τὸ μεγάλαις τισὶ κολοκύνταις βλέπειν, ἤτοι λίαν A
λημᾶν.

949 Χαλκιδίζειν: *Ἐπὶ τῶν γλισχρευομένων. Οἱ γὰρ ἐν Εὐ-*
βοίᾳ Χαλκιδεῖς ἐπὶ φιλαργυρίᾳ ἐκωμῳδοῦντο.

950 Χαλεπὸν χορίων κύνα τρέφειν: *Τὸ ἔλυτρον τοῦ ἐμβρύου*
χόριον καλεῖται. Οἱ δὲ κυνὲς γευσάμενοι τούτου, καὶ τοῖς ἐμ- B
βρύοις ἐπιβουλεύουσι διὰ τὸ λίχνον.

951 Χρήματα χρήματ' ἀνήρ: *Αὕτη ἀποφθεγματική ἐστιν, ὡς*
τὰ παραγγέλματα τῶν ἑπτὰ σοφῶν. Μέμνηται ταύτης Πίν-
δαρος.

952 Ψύρα τὸν Διόντσον: *Ἀντὶ τοῦ εὐτελῆ. Νησίδιον γάρ ἐστι* C
μικρὸν τὰ Ψυρὰ, μὴ δυνάμενον οἶνον ἐνεγκεῖν. Εἴρηται ἐπὶ τῶν
ἐν συμποσίῳ κατακειμένων καὶ μὴ πινόντων.

953 [s]Ψωλὸν γενέσθαι δεῖ σε μεχρὶ τοῦ πτρρίνου: *Μέμνηται*
ταύτης Ἀριστοφάνης ἐν Ἱππεῦσιν, ἐλέχθη δὲ ἐπὶ τῶν μέχρι πολ-
λοῦ διειλκυσμένων. D

954 [t]Ψυχὴ πρόμαντις: *Ἐπὶ τῶν τὰ μέλλοντα προορώντων.*

955 [u]Ὦσὶν ἐστῶσιν: *Ἐπὶ τῶν πρὸς τὸ ἀκοῦσαί τι τὰ ὦτα εὐ-*
τρεπισμένα ἐχόντων.

956 [v]Ὥσπερ Χαλκιδικὴ τέτοκεν ἡμῖν ἡ γυνή: *Ταύτης Πο-*

autem hîc scriptum puto in extremo *λίαν τιμᾶν*, pro quo *λημᾶν* tentabam. SCHOTT.

949. Vat. IV. 48.

950. Suid.

951. Zen. VI. 43.

952. Suid.

953. Vat. IV. 49.

[s] *Ψωλὸν*] Aristophanis dictum explicat enarrator Græcus *ἐν Ἱππεῦσι, περὶ ψωλοῦ*, qui morbum etiam designat herniosum, ut hoc loco, qui ictu ruptus est. Alias pro curto, recutito, et apella seu circumciso, in Pluto ejusdem Comici, [v. 267.] ad illa: *Οἶμαι δὲ νὴ τὸν οὐρανὸν, καὶ ψωλὸν αὐτὸν εἶναι.* Hic Suidæ *λειτόδερμος, ὀξυτόνως.* Hesychio *ψωλὸς ὁ ἀνεσκολυμμένος.* Aristophanis Scholiastes [Eq. 960.] *ἰδίως ἐπὶ τῶν μεχρὶ πολλοῦ διεσκυλμένων.* Alterutro hîc quoque modo censeo emendandum pro illo *διειλκυσμένων*. SCHOTT.

954. Vat. IV. 50.

[t] *Ψυχὴ πρόμαντις*] Mente vaticinamur, quæ et divinatio est, ut in prudentibus observat M. Tullius sæpenumero, et in Attici Vita Cornelius Nepos, ad quem nos olim pluribus. SCHOTT. Eurip. Andr. 1073. *πρόμαντις θυμός.*

955. Vat. IV. 51.

[u] *Ὦσὶν*] Terentius Andria: *Arrige aures Pamphile.* Etsi obscœne ibi Donatus. Maro I. Æneid. *Arrectisque auribus adstant.* SCHOTT.

956. Zen. VI. 50.

λύζηλος μέμνηται ἐν Μουσῶν γοναῖς, ἐπί τινος πολλὰς θυγατέρας ἀπογεννώσης. Ἐπειδὴ Χαλκίδα τῆς Εὐβοίας πόλιν φασί ποτε ἀνθῆσαι φορᾷ καὶ πλήθει τετρώρων ἁρμάτων. A

957 [x] Ὠγύγια κακά: Ἐπὶ τῶν ὀχληρῶν. Ἐπεὶ συνέβη Κάδμον τὸν Ὠγύγου διὰ τὰς θυγατέρας κακοῖς περιπεσεῖν. Ἄμεινον δὲ λέγειν ὠγύγια κακὰ τὰ παλαιά. Τοῦτο γὰρ ἡ λέξις δηλοῖ. B

958 Ὦ Λακιάδαι: Ἐπὶ τῶν μοιχῶν. Δῆμος γὰρ τῆς Ἀττικῆς οἱ Λακιάδαι, ἐν ᾧ ῥαφανίδες πολλαί, αἷς ἐχρῶντο κατὰ τῶν ληφθέντων μοιχῶν ἐνυβρίζοντες, καὶ στελεοῖς δὲ ἐχρῶντο μὴ παρουσῶν τούτων καὶ [y] ἀναβαστοῖς.

959 Ὡς τὴν ἐν Ἄργει Ἀσπίδα καθελὼν σεμνύνεται: Οἱ μὲν C ἱερὰν φασὶν εἶναι ἐν Ἄργει ἀσπίδα καλουμένην ἐχυρὰν καὶ δυσκαθαίρετον· οἱ δὲ λόχον φασὶν εἶναι ἐν Ἄργει τῶν πάνυ ἀκμαζόντων νεανίσκων, ὃν Ἀσπίδα καλεῖσθαι.

957. Vat. IV. 52.

[x] Ὠγύγια] Suidas eadem; illud addens, Cadmum Ogygis filium, qui Ogyges primus Thebis regnavit. Hesychio etiam ὠγύγια sunt παλαιὰ, μεγάλα πολύ. SCHOTT.

958. Vat. IV. 53.

[y] ἀναβαστοῖς] Pro ἀναβαστοῖς, quod in Vatican. scriptum reperi, Suidas syllabæ unius commutatione ἀναθάστοις præfert: sed neutrum placet: tentavi, nec tamen facit satis, βασάνοις, dum quis locum εὐστοχίᾳ quadam perpurget. Ceterum de hoc supplicii genere Athenis Atticis per raphanos agit Aristoph. interpres ἐν Νεφέλαις, ad illa Comici verba [1079.] Τί δ' ἦν ῥαφανιδωθῇ γε πειθόμενος, τέφρᾳ τε τιλθῇ; et elegantissimus M. Ant. Muretus Notis ad Catullum pœnam explanat. SCHOTT.

959. Zen. VI. 52.

PROVERBIA

EX

CODICE COISLINIANO.

N. 177.

1 Αἱ Οἰδίποδος ἀραί: Ἐπὶ τῶν μεγάλως δυστυχούντων. A

2 Ἄκρον λάβε, etc. Conf. Suid. Cod. addit, πρὸς γάρ τινας τοῦ Ἀπόλλωνος ἀνελόντος πυθομένους ποῦ οἰκήσουσι, καὶ εἰπόντος, Ἄκρον λάβε καὶ μέσον ἕξεις, καὶ μὴ διανενοηκότας τὸν χρησμόν. Ἀπὸ τούτου ἐκρατήθη ἡ παροιμία.

3 Ἄλας καὶ τράπεζαν μὴ παραβαίνειν: Τὴν Θέμιν φασὶ B χρηστηριάζουσαν, παραινεῖν ταῦτα μὴ παραβαίνειν, ἢ ὅτι ἔκειντο ἐν τῷ μαντείῳ, ἢ ὅτι τοῖς κοινωνήσασι τούτων φίλοις χρῆσθαι δεῖ.

4 Ἄλλα μαρτυρεῖ τρία, καὶ ἄλλα καλεῖται τρία: Ἐπὶ τῶν ἀγοραίων ἀνθρώπων καὶ ἑτοίμων πᾶν ὁτιοῦν ποιεῖν ἕνεκα κέρδους. C

5 Ἀκίνητα κινεῖ: Ἐπὶ τῶν μάτην πονούντων. Cf. Suid.

6 Ἀ κορινθία γυνὴ ἔοικε χοιροπωλήσειν: Ἐπὶ τῶν καθ' ὥραν θρυπτομένων γυναικῶν, καὶ ἐκδότων εἰς μίξιν. Πολλαὶ γὰρ ἑταῖραι ἐν Κορίνθῳ, καὶ τὸ γυναικεῖον αἰδοῖον χοῖρον ἐκάλουν.

7 Ἄκοτε τοῦ τέσσαρα ὦτα ἔχοντος: Ἐπὶ τῶν ἀπειθούντων. D Χρησμὸς γὰρ ἐδόθη Ἐντίμῳ τῷ κρητῇ (sic. Zen. Κρητὶ) καὶ Ἀντιφήμῳ φυλάξασθαι τοῦ τετραώτου· ἦν δὲ οὗτος λῃστής, οἱ δὲ ἀμελήσαντες τοῦ χρησμοῦ ἀπώλοντο. Cf. Zenob.

8 Ἄλεσ δ' ἀπὸ μείζονος ἀνδρός: Οἱ Ἴωνες τὸ ἄλεσ ἀντὶ τοῦ φυλάττεσθαι λέγουσι. Παρεγγυᾷ οὖν ἡ παροιμία φυλάττεσθαι E τὰς τῶν μειζόνων συναστροφάς.

9 Ἀλιδεσμένος βίος: Ἐπὶ τῶν ἐν ἀφθονίᾳ ζώντων, μᾶλλον δὲ ἐπὶ τοῦ ἑτοίμου καὶ ἀκόπου.

10 Ἀλλότριον ἁμᾶις θέρος: Ἐπὶ τῶν κατολιγωρούντων ἐν τοῖς A
ἀλλοτρίοις, ἢ ἐπὶ τῶν τὰ ἀλλότρια καρπουμένων. Cf. Suid.

11 Ἄλλο γλαῦξ, ἄλλο κορώνη θοέγγεται: Ἐπὶ τῶν τοῖς
κρείττοσιν ἐριζόντων, ἢ ἐπὶ τῶν ἄλλοις οὐ συμφωνούντων. Cf.
Suid.

12 Ἀλλ' οὐκ αἴτις ἀλώπηξ: Λείπει τὸ εἰς πάγην ἁλώσεται. B
Παρ' ὅσον ἀλώπηξ πάγας φυγοῦσα δεύτερον οὐκ ἐμπίπτει.

13 Ἄλλοι μὲν σπείροτσιν, ἄλλοι δ' ἀμήσονται: Diog. ἐπὶ
τῶν οὐχ ἑαυτοῖς, ἀλλ' ἑτέροις πονούντων.

14 Ἄλλος ἐχθρὸς πολέμιος, καὶ ἄλλη γυνὴ ἡ πολεμία:

15 Ἀλλ' οὐκ ἔστι στοφάντοτ ἀήγματος: Cf. Suid. C

16 Ἀλλ' οὐδὲν δεῖ παρὰ τὸν βωμὸν βαστάζειν τὰς ἐπι-
νοίας: Cf. Zenob. Cod. in fine, προσάγοντες μετὰ τὸ καλ-
λιερῆσαι βουλεύονται.

17 Ἄλλως ἀναλίσκεις ὕδωρ: Cf. Suid. Cod. addit, μετ-
ήνεκται δὲ ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις πρὸς ὕδωρ λεγόντων. D
Πεποσωμένον γὰρ ὕδωρ ἐδίδοτο ἑκάστῳ τῶν ἀντικρινομένων ἐν τῷ
λέγειν.

18 Ἄλλοτε δ' ἀλλοῖον τελέθειν καὶ χώρα ἔπεσθαι: Cf.
Zenobium. Cod. in fin. πολύποδος, ὃς αἷς ἂν προσπελάσῃ πέ-
τραις, ταύταις ἐξομοιοῦται. E

19 Ἀλλοτρία βάλλειν: Ἐπὶ τῶν ἐν τῷ κυβεύειν διαμαρτανόν-
των, ἢ ἐπὶ τῶν ἀμελούντων. Cf. Suid.

20 Ἄλλα μὲν ὁ λευκώνος ὄνος φέρει, ἄλλα δὲ λευκὸν
λέγει:

21 Ἀλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἔβη: Cod. ἐπὶ τῶν F
καθ' ἑαυτοὺς χρωμένων τοῖς οὖσιν, ἢ ἐπὶ τῶν ἐπαναστρεφομένων
ἔνθεν ἐξέβησαν· τὸ γὰρ παλαιὸν ἀγῶνος συντελουμένου γυμνικοῦ
ἔν τισι τόποις τῆς Ἀττικῆς, ἅλες ἔπαθλον ἐδίδοντο· ἐπὶ τοὺς ἐπι-
χωρίους δὲ τοῦτο μόνον συνέβαινεν ἀγωνιζομένους, οἱ γὰρ ξένοι
ἀπείργοντο, ὡσὰν μηδενὸς τῶν ἔξω μετέχοντος τῆς ἀγωνίας, πάλιν G
εἰς τὸν αὐτὸν τόπον ἀποχωρεῖ. Cf. Suid.

22 Ἅμα κνέφας, ἅμ' ὄρθρος:

23 Ἀμαλθείας κέρας: Ἐπὶ τῶν ἀφθόνως ζώντων. Ἀπὸ τῆς
Ἀμαλθείας τῆς τροφοῦ (Cod. τροφός) τοῦ Διός, ἢ γάλακτι

αὐτὸν ἔτρεφεν· αὕτη δὲ αἶξ ἦν· ἡ ἀπὸ Ἀμαλθείας γυναικὸς A
καπηλίδος, ἥτις πᾶσαν τὴν ἐμπολὴν κέρατι εἶχεν· εἰς ἣν χάριν
πότου Ἡρακλῆς εἰσιὼν, τὸ κέρας κέκλοφεν, ἀφ' οὗ φασὶν εὐθηνή-
σαντα τὸν Ἡρακλέα καλῶς ζῆσαι. Cf. Suid. et alios.

24 Ἄμαξα τὸν βοῦν ἕλκει: Ἐπὶ τῶν ἐναντίως καὶ ἡ χρὴ
γινομένων. B

25 Ἄμες πόχ' ἄμες: Παροιμία Λακωνικὴ, ἀντὶ τοῦ ἡμεῖς ποτὲ
ἦμεν. Τοῦτο δὲ ἔλεγον οἱ ἐν Λακεδαίμονι χορεύοντες γέροντες.
Cf. Zenob.

26 Ἃ μὴ κατέθοτ, μὴ ἀνέλαι: Παρεγγυᾶται τῶν ἀλλοτρίων
ἀπέχειν. C

27 Ἀμοτσότερος λιβηθρίων: Λιβηθρίοις γὰρ οὐδέποτε μέλους
ἐμέλησε, τὸν Ὀρφέως φοβηθεῖσι θάνατον.

28 Ἀμύνει ὡς ἔοικεν ἡ πάγη: Παρ' ὅσον καὶ ἡ δολιότης
βοηθεῖ.

29 Ἄμτρις μαίνεται: Ἐπὶ τῶν δοκούντων μὲν μαίνεσθαι οἷς D
πράττουσιν, ὄντων δὲ τῶν ἔργων καθηκόντων. Θεωρὸς, reliqua ut
Suidas. Cod. προσφυγόντα ἐν τῷ ἱερῷ, etc.

30 Ἀναγτράσιος δαίμων: Ὅταν χαλεπή τις τύχη καὶ πονηρὰ
δυστυχία κατασείσῃ πᾶσαν οἰκίαν ἀλλεπαλλήλοις δεινοῖς, ἡ πα-
ροιμία λέγεται. Φασὶ γὰρ γενέσθαι τινὰ γεωργὸν ἐν τῷ Ἀναγυ- E
ρασίων δήμῳ, αἰτίαν ἔχοντα ἐξυβρίζειν εἰς τὸν πλησίον ἱδρυμένον
βωμόν· διὸ συμφοραῖς τὸν ἄνθρωπον δειναῖς περιπεσεῖν· πρῶτον
μὲν γὰρ ἀπέλαβε τὴν γυναῖκα, ἐξ ἧς αὐτῷ παῖς ἐγεγόνει· εἶτα
τὸν υἱὸν ἐπήρωσε διαβολῇ πλαστῇ τῆς μητρυιᾶς χρησάμενος· καὶ
λαβὼν αὐτὸν ἀνεβίβασεν εἰς πλοιάριον, καὶ εἰς λυπρὸν ἐξέθηκε F
νησίδιον· εἶτα ὀνείδει κατεχόμενος, αὐτός τε καὶ ἡ γυνὴ κατὰ
πᾶσαν τὴν πόλιν, αὐτὸς μὲν συγκλείσας ἑαυτὸν μετὰ πάντων τῶν
κτημάτων ἐν τῇ οἰκίᾳ, καὶ πῦρ ὑποβαλὼν ἐκαύθη· ἡ δὲ γυνὴ εἰς
φρέαρ ἑαυτὴν ἔρριψεν.

31 Ἀνάγτρος: Δῆμος τῆς Ἀττικῆς, ἔνθα ἦν βορβορώδης τόπος G
κἀντεῦθεν δυσώδης, ὃς κινούμενος πολλὴν ἐποίει τὴν δυσωδίαν.
Ἐντεῦθεν ἐπεκράτησε καὶ παροιμία, κινεῖς τὸν Ἀνάγτρον,
ἐπὶ τῶν ἑαυτοῖς ἐπικινούντων κακά. Ἔνιοι δὲ ἀπὸ ἀναγύρου
λοχμώδους φυτοῦ ἀλεξικάκου ὄντος, ὃ τριβόμενον ὄζει καὶ δυσωδίαν

ἐπιφέρει τὸν τοῦτο τρίβοντα. Οἱ δὲ φασὶν ἀπὸ ἱερείας τινὸς A
τῆς Ἑκάτης, ἥτις ἐνθουσιοῦσα καὶ βακχευομένη τῇ δαίμονι,
ἠπείλει κινῆσαι αὐτῇ τὸν ἀνάγυρον· καὶ ἅμα λαμβάνουσα τοὺς ἐκ
τοῦ φυτοῦ λίγους, ἐμάστιζεν ἑαυτὴν, ὡς δῆθεν τὴν Ἑκατὴν ἐκ
τούτου λυποῦσα· καὶ ἡ παροιμία ἐπεκράτησεν ἐπὶ τῶν ἑαυτοῖς
ἐπιφερόντων κακά. B

32 Ἀνδρί ατδῖι πρ. οὐκ ἦν, etc. v. Suid. Cod. addit, παρ' ὅσον Κροῖσος ἑαυτῷ πολέμιον ἐπεσπάσατο Κῦρον.

33 Ἀνθ' Ἑρμίονος: Ἐπὶ τῶν ὁμοίως ἱερῷ σωζομένων. Ἑρμίων γὰρ ἐν Πελοποννήσῳ, etc. etc. Cf. Suid.

34 Ἀντ' ἰσχάδος: Ἐπὶ τῶν μηδενὸς ἀξίων, παρ' ὅσον εὐτελέστα- C
τον ἡ ἰσχάς.

35 Ἄνω ποταμῶν χωροῦσι πηγαί: Cf. Suid. Cod. ἢ λεγομένων, οἷον εἰ ὁ πόρνος τὸν σώφρονα λέγοιτο πόρνον, ἐπειδὴ οἱ ποταμοὶ ἄνωθεν κάτω ῥέουσιν, καὶ αἱ πηγαὶ τῶν ποταμῶν οὐκ ἄνω τρέχουσιν, ἀλλ' ἐπὶ τὸ κάτω χωροῦσιν. D

36 Ἄξιος ὀβελίσκου καὶ ἀπὸ ὀβελίσκου: Ἀπὸ τῶν ἰχθυδίων. Καὶ Ἄξιος τοῦ παντὸς, ἐπὶ τῶν σφόδρα τιμίων. Cf. Suid. p. 416 C.

37 Ἀπαλοὶ θερμοτσίαις: Ἀντὶ τοῦ τρυφηλοὶ καὶ τὴν σάρκα διαρρέοντες. E

38 Ἀπὸ βραδυκελῶν ὄνων ἵππου ὁρᾶσιν: Ἐπὶ τῶν ἀπὸ εὐτελῶν εἰς μείζονα μεταπηδώντων. Cf. Suid.

39 Ἀπ' ὄνου καταπεσών: Ἐπὶ τῶν μηδ' ὄνοις δυναμένων, οὐχ ὅπως ἵπποις χρῆσθαι, ἢ ἐπὶ τῶν ἀχάλινον ἐχόντων στόμα, καὶ ἀπὸ γλώσσης πιπτόντων, ἐπεὶ ὁ ὄνος ἀχάλινος, καὶ πολλοὶ διὰ F
τοῦτο ἐξ αὐτοῦ πίπτουσιν· οὕτω Πλάτων. Cf. Suid.

40 Ἀράβιος ἀθλητής: Τίθεται ἐπὶ τῶν ἀπαυστὶ λεγόντων. Οἱ γὰρ Ἀράβιοι κατὰ συσκηνείαν καὶ συγγένειαν τὰς φυλακὰς ἐποιοῦντο· καὶ ὁ τεταγμένος φυλάττειν, σπιθαμιαῖον αὐλὸν ἔχων τῷ μήκει, δι' ὅλης ἤδε τῆς νυκτὸς μέλος ἔντονον, τὴν παῦσιν τοῦ G
μέλους οὐκ ἀγαθὸν τιθεμένοις σημεῖον. Ἀπὸ τούτου ἐλήφθη ἡ παροιμία, ἣν μεταλλάξας Μένανδρος, "Ἀράβιόν φησιν ἐξεύρηκα σύμβουλον," καὶ "Ἀράβιον ἐγὼ κεκίνηκ' ἄγγελον": οἱ δέ φασιν, τὸ παλαιὸν μὴ μανθάνειν αὐλεῖν διὰ τὸ βάναυσον, τῶν δὲ ἀνδρα-

πόδων τὰ πολλὰ εἶναι βάρβαρα καὶ Ἀράβια· τούτους αὐλῷ ᾄδοντας A
μόλις καταπαύειν. Ἐφ' ὧν ἐλέχθη παροιμία,

Δραχμῆς μὲν αὐλεῖ, τεττάρων δὲ παύεται.

41 Ἄριστα χωλὸς ἥφει: Ἐπὶ τῶν τὰ οἰκεῖα κακὰ μᾶλλον αἱ-
ρουμένων ἢ τὰ ἀλλότρια ἀγαθά. Τῶν γὰρ Σκυθῶν ποτὲ ταῖς
Ἀμαζόσι πολεμούντων, καὶ ἀνοχῆς γενομένης, τά τε ἄλλα φιλο- B
φρονουμένων καὶ φασκόντων αὐταῖς, ὅτι εἰ τούτοις πεισθεῖεν,
ἀπηρώτοις συνέσονται ἀνδράσιν, ἀλλ' οὐχὶ λελωβημένοις καὶ χω-
λοῖς καὶ ἀχρείοις ὡς οἱ παρ' αὐταῖς, Ἀντιάνειρα ἡ τούτων ἡγουμένη
θρασεῖα ἅμα καὶ ἀκόλαστος οὖσα, εἶπε πρὸς αὐτούς, "ἄριστα χω-
λὸς ὑφεῖ," ἤγουν συνουσιάζει. Αἱ γὰρ Ἀμαζόνες, τῶν τικτομένων C
παρ' αὐταῖς ἀρρένων, ἐπήρουν τὰ σκέλη, ἢ τὰς δεξιὰς χεῖρας, δῆ-
λον οὖν ὅτι χωλοῖς ἀνδράσιν ἐχρῶντο. Cf. Suid.

42 Ἀφαιρεῖν κροκίδας: Ἐπὶ τῶν πάντα ποιούντων ἕνεκεν κολα-
κείας, ἢ οὕτως ἀφαιρεῖται καὶ κροκίδας, ἐπὶ τῶν διὰ κολα-
κείας μέχρι καὶ τῶν σμικροτάτων καταγινομένων αἰτεῖν. D

43 Βάυτος χορός: Ἐπὶ τῶν ἀτακτότερον καὶ ἀφυέστερον τῆς
μουσικῆς χρωμένων.

44 Βάλλ' ἐς κόρακας: Τουτέστιν, ἄπιθι εἰς ἀπώλειαν, διότι τὸ
ζῶον χαίρει περὶ τὰ πτώματα, καὶ διὰ τὸ ἐν τραχέσι τόποις τὰς
νοσσιὰς ποιεῖν. E

45 Βάλλ' ἐς μακαρίαν: Ἐπὶ τῶν ἑαυτοὺς εἰς κίνδυνον κατ'
ἀρετὴν διδόντων. Μακαρία γὰρ ἡ Ἡρακλέους, ὑπηνίκα ἐπεστρά-
τευσεν ὁ Εὐρυσθεὺς ταῖς Ἀθήναις, ἑαυτὴν ἐπέδωκε σφάγιον ὑπὲρ
τῆς τῶν λοιπῶν σωτηρίας. Τούτου γενομένου, τῶν Ἀθηναίων
ἕκαστος θαυμάζων τῆς κόρης τὴν ἀρετήν, ὁ μὲν στεφάνους ἐπι- F
βάλλων, ὁ δὲ ἄνθη ῥίπτων, ἐπεφώνει, "βάλλ' ἐς μακαρίαν." Οἱ
δὲ κατ' εὐφημισμὸν τὸ μακαρία, ἐστὶ γὰρ ἀντὶ τοῦ ἐν ᾅδου, ἐν θα-
νάτῳ· ἐπεὶ χωρίον ἔφασκον ἐν ᾅδου, μακαρίαν κατ' εὐφημισμὸν
καλούμενον· τὸ δ' αὐτὸ τοῦτο καὶ ἐς μακαρίαν λέγουσι καὶ εἰς
μακαρίαν. G

46 Βάσανος λίθος: Παροιμία, ἐπὶ τῶν καλῶς ἐξεταζόντων καὶ
τὸ ζητούμενον φανερούντων.

47 Βάτα Κάρας: Ἐπὶ τῶν παχέων καὶ δυνατῶν, ἢ ἐπὶ τῶν ἀναι-
σθήτων. Εἴρηται δὲ ἀπὸ ἐπιγραφῆς οὔσης ἐν Σάμῳ ἐν τῷ Ἡραίῳ,

καταπλανησάσης ὑπ' ἀγνοίας τοὺς ἀναγνόντας, ἐπέγραφον γὰρ A
πατρόθεν προτάσσοντες τὸν πατέρα· καὶ ἐστὶ τὸ μὲν Βάτα γενικὴ πτῶσις, τὸ δὲ Κάρας ὀρθὴ, ἵνα ᾖ, Κάρας ὁ Βάτα υἱὸς, ἤγουν ὁ υἱὸς τοῦ Βάτα, ὑφ' ἓν δὲ ἐξενεχθὲν ἐπλάνησε πολλούς. Ὅθεν καί φασιν ἐπὶ τῶν ἀναισθήτων εἰρῆσθαι τὴν παροιμίαν.

48 Βατήρ: Ἡ ἀρχὴ τοῦ τῶν πεντάθλων ἀγῶνος, ἀπὸ τούτου δὲ B
λέγεται καὶ παντὸς ἔργου καὶ λόγου τὸ πρῶτον καὶ κυριώτατον, ὡς τὸ, ΑΤΤΟΝ ΚΕΚΡΟΤΚΑΣ ΤΟΝ ΒΑΤΗΡΑ ΤΟΥ ΛΟΓΟΥ, ἤγουν τὸ ἐπικαιρότατον καὶ πρῶτον.

49 Βάττου σίλφιον: Ἐπὶ τῶν μεγάλων καὶ πολυτελῶν. Οἱ γὰρ Κυρηναῖοι τὸ σίλφιον μέγα τι καὶ ἐξαίρετον ἔχοντες, ἔδοσαν C
Βάττῳ, καὶ οὐχ ἐξῆν ἄλλῳ κεκτῆσθαι, ἐχάραττον δὲ καὶ ἐπὶ μὲν τοῦ ἑνὸς μέρους τοῦ νομίσματος τὸν Ἄμμωνα, ἐπὶ δὲ τοῦ ἑτέρου τὸ σίλφιον, ὡς μέγα· τὸ δὲ σίλφιον βότανόν ἐστι θεραπευτικὸν, ἡδύοσμον καὶ πολύτιμον.

50 Βδελύττομαι τὸν λεπρὸν ἀπὸ μελανθίου: Ὁ Μελάνθιος D
λέπραν εἶχε. Λέγει γοῦν ἰδὼν τὸν Μελάνθιον οἷόν ἐστι κακὸν, βδελύττομαι τὸν λεπρόν. Λήψῃ δὲ τὸν λόγον ἐπὶ τῶν ὁμοίων κακῶν.

51 Βίον μεμαγμένον: Ἐπὶ τῶν εὐδαιμόνων καὶ ἀπόνως χρωμένων τῇ τοῦ βίου πολυτελείᾳ. E

52 Βότρυς πρὸς βότρυν πεπαίνεται: Ἐπὶ τῶν ἐξισοῦσθαι φιλονεικούντων.

53 Βουλήσεται τὶς μᾶλλον ἢ δυνήσεται: Ἐπὶ τῶν προαιρουμένων μὲν, οὐ δυναμένων δέ.

54 Βουλίας δικάζει: Ἐπὶ τῶν τὰς κρίσεις ὑπερτιθεμένων ἀεὶ F
δικαστῶν. Τοιοῦτος γὰρ ὁ Βουλίας κριτὴς ὤν.

55 Βοῦς ἐνάλιος: Ἐπὶ τῶν μηδὲν χρησιμευόντων.

56 Βοῦς ἐν αὐλίῳ κάθηι: Παροιμία ἐπὶ τῶν ἀχρήστων.

57 Βοῦς ὁ μολοττῶν: Ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων καὶ κατακοπτομένων πράγματα. Οἱ γὰρ Μολοττοὶ, ἐπειδὰν ὅρκια G
ποιῶνται, βοῦς παραστησάμενοι καὶ κώθωνας οἴνου πλήρεις, τὸν μὲν βοῦν κατακόπτοντες εἰς μικρὰ, ἐπαρῶνται τοῖς παραβησομένοις οὕτως κατακοπῆναι· τοὺς δὲ κώθωνας ἐκχέοντες, οὕτως ἐκχυθῆναι τὸ αἷμα τῶν παραβησομένων.

58 Βοῦς ἐπὶ φάτνην: Ἐπὶ τῶν ἐπὶ τὰ συνήθη καὶ ἥδιστα ἀφικνουμένων. A

59 Βοῦς ἐν πόλει: Ἐπὶ τῶν παραδόξων καὶ θαυμαζομένων. Λυσανίας δὲ εἶπε βοῦς ἐν ἀκροπόλει.

60 Βοΐτην Νίκων ἔγραψεν: B. 224. ubi Μήκων. Cod. πίνακα γάρ ποτε γράψας ὁ Νίκων, etc. B

61 Βύας: Εἶδος ὀρνέου νυκτερινοῦ, "καὶ βύας ὤφθη," "καὶ βύαι ὤφθησαν" ἀντὶ τοῦ συμφοραὶ, προμηνύει γὰρ τὸ ὄρνεον κακά.

62 Βύβλος: Νῆσος. Βύβλινον τοῖχον μέθυ: παροιμία πρὸς τοὺς διαφθείραντας τινὰ ἔργα.

63 Βώλοις ἄροτραν: Ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσ- C φιλοτιμουμένων, ὅμοιον εἴ τις θαλάττῃ ἐκ χαράδρας ὕδωρ ἐπεισάγοι, καὶ χαρίζεσθαι δοκοίη.

64 Γαλῆ χιτών: Ἐπὶ τῶν ἀπρεπῶν, ὁμοία τῇ οὐ πρέπει γαλῆι κροκωτόν. Τὸ δὲ ἁπέδυ τὸν κροκωτὸν ἡ γαλῆ, ἐπὶ τῶν ἀφεμένων καὶ ἀνακαλυψάντων ἅπερ πρότερον ὑπεκρίνοντο· D φασὶ γὰρ οἱ μυθολόγοι, γαλῆν κροκωτῷ κοσμηθεῖσαν καὶ καλλωπιζομένην τῷ ἐνδύματι, καὶ μετὰ σεμνότητος καὶ αἰδοῦς προσισταμένην, εὐθὺς ταῦτα ἀπορρίψαι, καὶ πρὸς μῦν ἐκδραμεῖν ἀναφανέντα.

65 Γαλῆν ἔχεις: Ἐπὶ τῶν ἀποτευκτικῶν, παρ' ὅσον οἱ γαλῆν E ἔχοντες, οὐκ ἐπιτυχεῖς. Cf. Diogen. III. 84. ubi ἀποτρεπτικῶν.

66 Γαλῆ στέαρ: Πρὸς τοὺς οἷς χαίρουσι ταῦτα λαμβάνοντας, λείπει δὲ τὸ ἔσχε.

67 Γαλλιστὶ τεμεῖν (sic): Cf. B. 280. Cod. ἢ ἀπὸ τοῦ πο- F ταμοῦ Γάλλου ἠσύχως ῥέοντος.

68 Γελοῖς παιδοφιλωτέρα: Ἐπὶ τῶν φιλοτέκνων μὲν, τρυφῇ δὲ διαφθειρόντων αὐτά. Γελλὼ γάρ τις ἦν παρθένος, ἥτις ἐν τῷ τίκτειν ἐτελεύτησε, καὶ ἐπειδὴ ἀώρως ἐτελεύτησε, ἔφασαν οἱ Λέσβιοι αὐτῆς τὸ φάντασμα ἐπιφοιτᾶν ἐπὶ τὰ παιδία, καὶ τοὺς G τῶν ἀώρων θανάτους αὐτῇ ἀνετίθεσαν. Μέμνηται ταύτης Σαπφώ. etc.

69 Γελοιότερον ἀπεργάζη—φειδίου τέχνη: Suid. p. 803 A.

Cod. addit, Φειδίας γὰρ ἄριστος ζωγράφος, Μυρμηκίδης δὲ κάκιστος. A

70 Γελοιότερον μελιτίδου: Suid. p. 803 B. in fine ἐξ ὁποτέρου γονέων ἐτέχθη. Cod. addit ἐκ πατρὸς ἢ μητρός.

71 Γέλως μεγαρικός: Suid. p. 802 D. Cod. ἤκμασεν ἡ μεγ. κωμ. ἀώρως, ἣν ἀθ. κ. ἐγέλων. Cf. B. 285. B

72 Γέλως στγκροτοΐσιος: Suid. p. 803 A. ὁ ἄτακτος καὶ ἄκοσμος.

73 Γέρανοι λίθοτς φέροτσιν: Suid. p. 811 A. Cod. πότερον ἐπὶ γῆς ἢ θαλάττης φέρονται.

74 Γέρων βοῦς ἀπένθητος δόμοισιν: Ἐπὶ τῶν τελευτώντων καὶ λύπην μὴ παρεχόντων. Suid. p. 813 A. C

75 Γέρων ὁ βοῦς, τὰ δ' ἔργα πολλὰ τῶι βοΐ: Ἐπὶ τῶν γεγηρακότων μὲν καὶ μηδὲν χρησιμευόντων, ἀξίων δὲ τιμῆς, διὰ τὰ πρότερον αὐτῶν ἔργα.

76 Γέρων ἐρινὸς ετφραίνει τοτς γείτονας: Πρὸς τοὺς μὴ δυναμένους χρῆσθαι τοῖς ἰδίοις ἀγαθοῖς· ὁ δὲ λόγος ἐπὶ γεγαμηκότος γέροντος. D

77 Γῆς ἔντερα: Ἐπὶ τῶν μηδενὸς ἀξίων· τὰ γὰρ τῆς γῆς ἔντερα σκωλήκων εἶδός ἐστι φαυλοτάτων.

78 Γλαῦξ εἰς Ἀθήνας: Ἐπὶ τῶν μάτην ἐπισωρευόντων τινὰ, εἰς ἀφθονίαν πρυνπαρχόντων, καὶ ἀλυσιτελεῖς ἐμπορείας ποιούντων, ἐπειδὴ τὸ ζῶον τοῦτο σφόδρα ἐπιχωριάζει ταῖς Ἀθήναις. E

79 Γλαῦξ ἵπταται: Ἐπὶ τῶν ἀγαθῶν οἰωνῶν. Ἡ πτῆσις γὰρ τῆς γλαυκὸς εἰς νίκης σύμβολον ἐλογίζετο. F

80 Γλαύκου τέχνη: Ἐπὶ τῶν εὐμηχάνων καὶ ῥᾳδίως κατεργαζομένων, ἀπὸ Γλαύκου τινὸς Σαμίου, ὃς πρῶτος σιδήρου κόλλησιν εὗρε, καὶ ἄλλα πολλὰ εὐμέθοδα ἐτεχνάσατο. Suid. p. 823 A.

81 Γλυκὺ μέλι καὶ πνιγάτω: Τέρπανδρος γὰρ σῦκα ἐσθίων ἐπνίγη· ἦ γλυκὺ ἦτω. G

82 Γλυκὺς ἀγκών: Παροιμία ἐπὶ τῶν εὐθυμούντων, ὡς εἴτις εἴποι, ὦ γλυκὺς πῆχυς, παρ' ὅσον οἱ εὐφραινόμενοι καὶ ἐρῶντες τὸν

ἀγκῶνα τιθέασιν· ἐναντία δὲ ταύτης τό· "ψυχρὸν παραγκάλισμα." A
Λέγεται καὶ γλυκὺς ἀγκὼν ὁ πικρὸς κατ' εὐφημισμὸν ἀπὸ τόπου
ἀγκῶνος καλουμένου περὶ τὸν Νεῖλον γλυκέος, δυσχεροῦς ὄντος.
Suid. p. 829.

83 Γατκὺς ἀπείροι πόλεμος: Ἐπὶ τῶν ὑπ' ἀπειρίας ἑαυτοὺς
καθιέντων εἰς πόλεμον καὶ εἰς τὰ ἐπικίνδυνα. Λέγεται καὶ οὕτως· B
"γλυκὺς πόλεμος ἀπειράτοις." Suid. p. 829.

84 Γλῶσσα ποῖ πορεύῃ: Ἀπόκρισις· πόλιν ἀνορθώσουσα καὶ
πόλιν καταστρέψουσα, ἐπὶ τῶν διὰ λόγων ἢ ὠφελούντων ἢ
βλαπτόντων. Suid. p. 825.

85 Γλώττης δ' ἔνεστι καὶ παρ' ἀτάλταις φόφος: Ὅτι καὶ οἱ C
τυχόντες εἰπεῖν τι καὶ πράττειν δύνανται. B. 296.

86 Γόνυ κνήμης ἕρτιον: Ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἢ ἑτέρους
ἀγαπώντων, ἔνιοι δὲ ἐπὶ τῶν ὀφειλόντων παρέχειν μᾶλλον προσ-
ήκουσιν ἢ τοῖς ξένοις· ὁμοιά· καὶ τῶν φίλων τοὺς φιλτάτους,
καὶ τῶν οἰκείων τοὺς οἰκειοτέρους. Suid. p. 836. D

87 Γραφή τε καὶ Λευκαῖος οἱ ταττόν: Ἐπὶ τῶν ἀνόμοια γρα-
φόντων. Τὸν γὰρ Λευκαῖον γραφῇ τις ποιήσας ἀνόμοιον ἐποίησε.
Δύναται δὲ καὶ ἑτέρως ἀκούεσθαι, ὅτι οὐχὶ αὐτὴ φύσις γραφῆς,
καὶ αὐτοῦ τοῦ γραφομένου σώματος.

88 Γῆς οὐκ ἔνεστ' ἐν τούτῳ, etc. Suid. p. 851. E

89 Γυμνότερος λεβηρίδος: Ἐπὶ τῶν πάνυ πενήτων· λεβηρὶς
γὰρ τὸ σύφαρ καὶ ἡ ἐκδυμία τοῦ ὄφεως, καὶ τοῦ τέττιγος,
κυρίως δὲ λεβηρὶς ᾧ περιέχεται τὸ ἔμβρυον τοῦ βοός. Λέ-
γεται δὲ παρά τισι "γυμνότερος ἰαλέμου," ἐπὶ τῶν πάνυ οἰκτρῶν,
οἱ δὲ λέγουσι "κενότερος λεβηρίδος," οἱ δὲ "τυφλότερος," ἄλλοι F
δὲ "γυμνότερος ὑπέρου." Suid. p. 854 C.

90 Γυμνὸς ὡς ἐκ μητρός: Ἐπὶ τῶν ἀπόρων.

91 Γυμνῶι φυλακὴν ἐπιτάττεις: Ἐπὶ τῶν μὴ δεομένων προσ-
τάξεως διὰ τὸ ἐξ ἀνάγκης αὐτοὺς καὶ χωρὶς ἐπικελεύσεως τοῦτο
πράττειν ἀναγκάζεσθαι· οἱ γὰρ ἐν Ἀργινούσαις ἡττηθέντες Λακε- G
δαιμόνιοι καὶ γυμνοὶ καὶ ἄποροι φυγόντες, Ἑτεονίκου παρακελευο-
μένου αὐτοῖς φυλακὰς ἔχειν, ἵνα μὴ λάθωσιν αὐτοῖς ἐξαίφνης
ἐπιπεσόντες Ἀθηναῖοι, ἀπεκρίναντο· ὅτι δεῖ τοὺς γυμνοὺς ἐξ ἀνάγ-
κης ἀγρυπνεῖν διὰ τὸ ῥίγος.

92 Γυναικὸς πτηή: Ἐπὶ τῶν ἀργῶς καθημένων, παρ' ὅσον αἱ γυναῖκες οἶκοι κάθηνται· ἢ ὅτι χρὴ τὰς γυναῖκας οἴκοι μένειν. Suid. p. 856. A

93 Γυναικὶ μὴ πίστευε, μηδ' ἂν ἀποθάνῃ: Ὅτι μὴ δεῖ γυναικὶ πιστεύειν.

94 Γυνὴ στρατηγεῖ ἢ στρατεύεται: Ἐπὶ τῶν παραδόξων. B

95 Γυνὴ εἰς Ἡρακλέους οὐ φοιτᾶι: Πρὸς τοὺς ἀναξίους τινῶν πράξεων, π. ἡρ. ἐδ. ὀμφ. Suid. p. 856.

96 Δαιδάλου ποιήματα: Ἐπὶ τῶν ἀκριβῶς τὰ τεχνάσματα ποιούντων· ἀπὸ Δαιδάλου τινὸς μηχανοποιοῦ σοφοῦ. Suid. p. 874. C

97 Δαιδάλου πτερά: Ἐπὶ τῶν δι' ἀπορίαν προσθήκῃ χρωμένων παρελκούσῃ. Suid. p. 874.

98 Δειλότερος τοῦ παρακύπτοντος: Suid. p. 900 D. Cod. ἀνὴρ γάρ τις οὕτως ἐγένετο δειλὸς, ὡς παρακύψας, etc.

99 Δεινῆς ἀνάγκης οὐδὲν ἰσχυρότερον: Ἐπὶ τῶν δι' ἀνάγκην καὶ τὰ παρὰ φύσιν ἢ μὴ καθήκοντα ποιούντων. καὶ ἄλλως· δεινὰ τὰ δεινὰ, ἐπὶ τῶν σφόδρα δεινῶν· καὶ ἕτεροι οὕτως· δεινὰ τὰ δεινὰ καὶ δεινότερα τῶν δεινίου. Suid. p. 903. D

100 Λύκου δεκάς: Παρ. ἐποιήθη δὲ ἐντεῦθεν. Λύκος μέν ἐστιν ἥρως, μορφὴν ἔχων θηρίου· πρὸς δὲ τοῖς ἐν Ἀθήναις ἀνεστήλωται δικαστηρίοις, πρὸς ὃν οἱ δωροδοκοῦντες γινόμενοι κατὰ δέκα ἀνεστρέφοντο ἔνθα καὶ ἔνθα. Suid. p. 882 B. E

101 Δέκα τοῦ ὀβολοῦ: Ἐπὶ τῶν μηδενὸς ἀξίων, ἐπειδὴ τὰ δέκα τοῦ ὀβολοῦ πιπρασκόμενα πάνυ ἐστιν εὐτελῆ.

102 Δέκα ἢ κύων τέκοι καὶ πάντα λευκά: Ἐπὶ τῶν ἐπιτυχῶν. F

103 Δελφὸς ἀνήρ, etc.: Suid. p. 887. Cod. inf. οὐ καταλλάσσουσιν.

104 Δελφῖνα νήχ. διδάσκεις: Ἐπὶ τῶν ἐν ἐκείνοις τινὰ παιδοτριβούντων ἐν οἷς ἤσκηται. Suid. p. 887. G

105 Δελφικὴ μάχαιρα: Ἐπὶ τῶν φιλοκερδῶν καὶ ἀπὸ παντὸς λαμβάνειν προαιρουμένων· παρ' ὅσον οἱ Δελφοὶ τὸ μέν τι τῶν ἱερείων ἐλάμβανον, τὸ δέ τι ὑπὲρ τῆς μαχαίρας ἐπράττοντο.

106 Δελφοῖσι θύσας αὐτὸς οὐ φαγῇ κρέας: Ἐπὶ τῶν πολλὰ

μὲν δαπανώντων, μηδενὸς δὲ ἀπολαυόντων. Παρ' ὅσον τοὺς ἐν Δελ- A
φοῖς θύοντας συνέβαινε διὰ τὸ πλῆθος τῶν ἑστιωμένων αὐτοὺς μη-
δενὸς γεύεσθαι.

107 ΔΕΣΜΟΙ ΤΡΡΗΝΟΙ: V. Suid. p. 895. κακονχίας. Cod. addit, λέγεται δὲ ἐπὶ τῶν δεσμευθέντων ἀφύκτως.

108 ΔΙΑ ΦΡΑΤΟΡΩΝ ΚΤΩΝ: Ἐπὶ τῶν ὅπου μὴ δεῖ εὑρισκομένων, B
καὶ διὰ τοῦτο κολαζομένων, παρ' ὅσον κύων εὑρεθεὶς ἐν φράτορσιν
ἐμαστιγοῦτο.

109 ΔΙΚΗΝ ΤΦΕΞΕΙ, ΚΑΝ ΟΝΟΣ ΔΑΚΝΗΙ ΚΤΝΑ: Ἐπὶ τῶν μικρὰ
πταιόντων καὶ ἀξίων κολάζεσθαι.

110 ΔΟΙΑΤΚΟΣ ΣΚΙΑ: Ἐπὶ τῶν μηδενός. C

111 ΔΟΙΑΤΞ ΑΤΞΕΙ: Ἐπὶ τῶν ἀναυξήτων.

112 ΔΟΡΤ ΚΑΙ ΚΗΡΤΚΙΟΝ: Ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπ-
ειλούντων. Γεφυραῖοι ὑπ' Ἀθηναίων πεμφθέντες εἰς Δελφοὺς ἐπὶ
τῷ λαβεῖν χρησμὸν, ἐν τῷ ὑποστρέφειν ἔμαθον Ἀθηναίους ὑπὸ
Εὐμόλπου πολεμουμένους, καὶ φοβηθέντες, οἱ μὲν πρεσβύτεροι D
ἔλαβον κηρύκεια προηγούμενοι· οἱ δὲ νέοι καθωπλισμένοι εἵποντο.
Cf. Suid.

113 ΔΟΤΛΟΤΕΡΟΣ ΜΕΞΗΝΗΣ: Ἐπὶ τῶν πικρᾷ δουλείᾳ ἐνεχομένων.
Cf. Zenob. III. 39.

114 ΔΟΤΛΑΣ ΔΕΣΠΟΤΩΝ ΑΚΟΤΣ ΚΑΙ ΔΙΚΑΙΑ ΚΑΙ ΑΔΙΚΑ: Ἐπὶ τῶν E
ἀπειθῶν δούλων. Οἱ δὲ οὕτως αὐτὴν λέγουσι· Κρεισσόνων γὰρ
καὶ δίκαια καὶ ἄδικα ἐστ' ἀκούειν.

115 ΔΟΤΛΟΝ ΟΤΚ ΑΓΩ ΕΙ ΜΗ ΝΕΝΑΤΜΑΧΗΚΕ ΠΕΡΙ ΤΩΝ ΚΡΕΩΝ:
Εἴρηται ἡ παροιμία ἀπὸ τῶν στρατευομένων δούλων, οἳ περὶ τοῦ
σώματος μάχονται, μὴ οὐσίαν ἔχοντες, μηδὲ γένη. Οἱ δέ φασιν F
" εἰ μὴ νεναυμάχηκε περὶ τῶν νεκρῶν," καί φασιν ἐκ τῶν ἐν Ἀρ-
γεννούσαις ναυμαχησάντων δούλων ὑπὲρ τῶν νεκρῶν, οἷς ἐλευθερίαν
ἐψηφίσαντο Ἀθηναῖοι.

116 ΔΩΔΩΝΑΙΟΝ ΧΑΛΚΕΙΟΝ: Ἐπὶ τῶν ἀκαταπαύστως λαλούντων·
ἐν Δωδώνῃ γὰρ λέβητες παράλληλοι ἔκειντο· ὧν εἴ τις ἑνὸς G
ἥψατο, πάντας συνέβαινεν ἠχεῖν. Ἀριστοτέλης δὲ δύο φησὶ
στύλους εἶναι, καὶ ἐπὶ μὲν τοῦ ἑνὸς λέβητα, ἐπὶ δὲ θατέρου παῖδα
κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκέους ὄντας σειομένους
ὑπ' ἀνέμου, τῷ λέβητι προσκρούειν, τὸν δὲ τυπτόμενον, ἠχεῖν.

117 Δῶρα θεοὺς πείθει καὶ αἰδοίοτς βασιλῆας: V. Suid. A Cod. addit, ὅμοιον τό· δῶρα καὶ σοφοὺς (superscr. γρ. θεοὺς) παρήπαφεν.

118 Δῶρον δ' ὅ τι δῶι τις ἐπαινεῖ: Ἐπὶ τῶν τὰ μὲν διδόμενα λαμβανόντων, ἄλλα δέ τινα αἰτούντων. Zen. III. 42.

119 Ἔαρος χρήιζει, ἐπειδὴ παλαιὸν χιτῶνα ἔχει: Ἐπὶ τῶν B τὰ πρόσφορα θελόντων. Cf. Suid. p. 1126.

120 Ἑαυτῶι νοτμηνίας κηρύττει: Ἐπὶ τῶν βουλομένων αὐτοῖς τὶ ἀγαθὸν γενέσθαι ἀταλαιπώρως, ἤτοι ἐπὶ τῶν ἀνέσεις ἑαυτοῖς ποριζόντων.

121 Ἐγγύ᾽ πάρα δ' ἄτα: Πάρεστι φησὶ τῇ ἐγγύῃ ἄτη καὶ βλάβη. C

122 Ἐγένοντο καὶ φίλοι ἐχθροί: Ἐπὶ τῶν εὐμεταβόλων, ἢ ἐπὶ τῶν ἐνδεχομένων γενέσθαι.

123 Ἐγὼ τοι πάντα ποιήσω θέρος: Ἐπὶ τῶν ἀγαθὰ ὑπισχνουμένων δώσειν.

124 Ἐγὼ ποιήσω πάντα κατὰ Νικόστρατον: Ἐπὶ τῶν ὀρθῶς D πάντα ποιούντων. Ἦν γὰρ ὁ Νικόστρατος ὑποκριτὴς τραγικὸς ἄριστος, καὶ μάλιστα ἐν ταῖς τῶν ἀγγέλων ἐπαγγελίαις· ὅθεν καί τινες εἶπον· "ἐγώ τοι φράσω πάντα κατὰ Νικόστρατον."

125 Ἔθτσας ἀντιθήσει: Ἐπὶ τῶν οἷς ἔδρασαν ὅμοια πασχόντων.

126 Εἰ καὶ λίθον εἶχες: Λείπει τὸ ἔβαλες, ἐπὶ τῶν προχείρως E ὀνειδιζόντων.

127 Εἰκῆ τῶι ἡρακλεῖ: Ἐπὶ τῶν ἀλήπτως τὰ πράγματα ἐπιτελούντων.

128 Εἰκῆ τὴν ἄβτδον: . . . . ἐπὶ τῶν μάτην τὶ φυλαττόντων· παρ' ὅσον ἐκεῖ ῥᾳδίως αἱ γυναῖκες πρὸς τὴν τῶν ἀνδρῶν ὁμιλίαν F καταφυλαττόμεναι ἐξάγονται.

129 Εἰ μὴ δήναιο βοῦν ἔλατνε δ' ὄνον: Ἐπὶ τοῦ ἐργάζεσθαι τὰ κατὰ δύναμιν.

130 Εἰ μὴ πατὴρ ἦσθα: Λείπει τό· "εἶπον ἂν σὲ οὐκ εὖ φρονεῖν."

131 Εἰ μὴ ταχέως ἀπολοίμεθα, οὐκ ἂν ἐσώθημεν: Ἐπὶ τῶν G διὰ φόβον μικρῶν εἰς μείζονα κακὰ ἑκουσίως πιπτόντων, ὡς οἱ κρημνιζόμενοι.

132 Εἰ πάθοι τάδ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο: Ἐπὶ τῶν ἀντιδιδόντων τιμωρίαν, ἐφ' οἷς ἔπραξαν.

133 Εἶπὼν Ἃ θέλεις, ἀντάκοτε Ἃ μὴ θέλεις: Ἐπὶ τῶν ἀκου- A
όντων κακὰ, εἰπόντων τοιαῦτα.

134 Εἴπερ ἐκ πετκης κἀγὼ ἐκ πτλων ἐπηγντμην: Εἰπὲρ δη-
λαδὴ ἐξ ἀνθρώπων καὶ ἐγὼ ἄνθρωπός εἰμι· ἡ προσωποποιΐα δὲ ὡς
ἀπὸ νηῶν μικρῶν πρὸς μεγάλας.

135 Εἴποις τὰ τρία: Cf. Suid. Cod. addit, τὸ δὲ νῦν ἀρχεῖον B
καλούμενον, αὐλὴ ἐκαλεῖτο.

136 Εἰς ἀρχαίας φάτνας ἦλθεν: Ἐπὶ τῶν εἰς τὴν ἀρχαίαν ἐλ-
θόντων δίαιταν ἐξ εὐδαιμονίας. Cf. Suid.

137 Εἰς βόλον ἐλθεῖν: Ἐπὶ τῶν εἰς καιρὸν ἐπί τι ἀφικνουμέ-
νων, ἐκ μεταφορᾶς τῶν ἰχθύων. C

138 Εἰς ἴχνια κτνῶν: Ἐπὶ κατάρᾳ τίθεται.

139 Εἰσὶ καὶ κτνῶν ἐρινντες: Παρεγγυᾷ μηδὲ τῶν μικρῶν κα-
ταφρονεῖν.

140 Εἰς κόλπον πτέειν: Ἐπὶ τῶν βασκαινομένων. Θεόκριτος.
Εἰς κόπρον θτμιδις, ἐπὶ τῶν τὰ κακὰ μεταβαλεῖν ἐπιχειρούντων. D

141 Εἰς Κτνόσαργες: Conf. Suid. . . Cod. ὠνόμασται δὲ οὕ-
τως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ. Λέγεται γὰρ ὅτι τῷ
Ἡρακλεῖ θύοντι ἁρπάσαι κύνα λευκὸν ἢ ταχὺν κρέας τῶν θυομέ-
νων καὶ φαγεῖν, καὶ διὰ τοῦτο κολαζόμενον καὶ μὴ ἐῶμενον, ἐλθεῖν
τὸν Ἡρακλῆ εἰς τὸ χρηστήριον, τὸν δὲ, ἀνέδωκε τὸ μαντεῖον, ἐς E
Κυνόσαργες ἐλθεῖν καὶ κτίσαι ναὸν, ἤτοι ἔνθα ὁ ἀργὸς καὶ λευκὸς
ἐκεῖνος κύων ἢ ὁ ταχὺς τὸ κρέας ἁρπάσας κατέθετο, ἐπὶ τούτῳ
πολλὰ παθεῖν τὸν Ἡρακλέα τὸν τόπον εὑρεῖν, καὶ τὴν παροιμίαν
ἐκτεθεῖναι (sic). Ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ συντελεῖν, ὅτι καὶ
Ἡρακλῆς νόθος ὢν, ἴσα θεοῖς ἐτιμήθη. F

142 Εἰς κόρακας: Εἰς φθοράν, εἰς ἀπώλειαν, λείπει τὸ ἄπιθι·
διότι τὸ ζῶον χαίρει περὶ τὰ πτώματα, καὶ διὰ τὸ ἐν τραχέσι
τόποις τὰς νοσσιὰς ποιεῖν καὶ κρημνώδεσιν.

143 Εἰς κέσκον: Λείπει τὸ ἄπιθι· λέγεται δὲ ἐπὶ τῶν μὴ φρο-
νούντων. Κέσκος γὰρ πόλις ἐστὶ τῆς Πισιδίας, ὡς δὲ ἔνιοι Κιλι- G
κίας, παρ' ἣν ῥεῖ ποταμὸς, ὄνομα Νοῦς.

144 Εἰς κορτβάντιον: Ἐπὶ τῶν καθαρῶν καὶ ἔξω αἰτίας, ἐπείπερ
οἱ εἰς Κορυβάντων εἰσιόντες παναγεῖς εἰσιν.

145 Εἰς κυνὸς πτῆνα βάπτει, καὶ τριῶν ἀλωπέκων: Ἐπὶ τῶν A
ὀφθαλμιώντων καὶ αἰσχρῶν.

146 Εἰς λατομίας: Παροιμία, ἐπὶ τῶν προκρινόντων τοὺς χείρονας τόπους ἢ τοὺς καλοὺς οἰκεῖν, ἐπὶ τῷ ἐκφυγεῖν κακά· ὅτι Φιλόξενος ὁ διθυραμβοποιὸς μὴ ἀνεχόμενος τῶν Διονυσίου τοῦ τυράννου ποιημάτων ὡς φαύλων, εἰς λατομίας ἦλθε, φαυλότατον B
χωρίον.

147 Εἰς Μασσάλειαν παιδείας: Ἐπὶ κατάρας, παρ' ὅσον εἰς μαλακίαν οἱ Μασσαλιῶται διεβάλλοντο· ἢ ὅτι οἱ Μασσαλιῶται εἰς πόλεμον ἐξιόντες κοσμοῦνται ὡς γυναῖκες.

148 Εἰς οὐρανὸν τοξεύειν: Ἐπὶ τῶν εἰς μεγάλους ἐπαιρομένων. C

149 Εἰς ὄνου πόκους: Πρὸς τοὺς εἰς τὰ ἀδύνατα ἀναβαλλομένους, παρ' ὅσον ἀπὸ ὄνου πόκοι οὐ γίνονται· οἱ δὲ ἐπὶ κατάρας τοῦτο λέγουσιν· ἤτοι ἄπιθι εἰς ὄνου πόκους, ἤγουν ἔνθα οἱ ὄνοι σήπονται, καὶ τὰ αὐτῶν ἔρια ὡς πόκοι γίνονται.

150 Εἴ σοι πτὸν ἤιον καλεῖν: Μῦσος τὶς μυσὸς ἐβούλετο καλεῖσθαι· ἀπὸ τούτου ἡ παροιμία, ἐπὶ τῶν μὴ τὰ οἰκεῖα ἀλλὰ τὰ D
ἐπίθετα προτιμώντων.

151 Εἰς πῦρ παίνειν: Ἐπὶ τῶν καθ' ἑαυτῶν τὶ ποιούντων ἢ λεγόντων, ἢ ἐπὶ τῶν μάτην πονούντων.

152 Εἰς τέφραν γράφειν: Ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνηύτων. E

153 Εἰς τὸ δέον ἀπώλεσεν: Ἐπὶ τῶν κλεπτόντων μὲν τὰ πιστευθέντα, προφασιζομένων δὲ εἰς τὸ δέον ἀνηλωκέναι. Περικλῆς γὰρ ὁ στρατηγὸς τῶν Ἀθηναίων κωμῳδεῖται, ὡς ἐν τοῖς λογισμοῖς τῶν κοινῶν χρημάτων μετὰ τῶν ἄλλων ἐν τοῖς γραμματίοις ἔγραψεν ἀνηλωκέναι εἰς τὸ δέον χρήματα τόσα, κλέψας καὶ ἰδιο- F
ποιησάμενος αὐτά· καὶ τὴν κλοπὴν κρύπτων διὰ τῆς εἰς τὸ δέον λέξεως. Ἔοικε δὲ ὡς οὐκ ἐπὶ κλοπῇ τοῦτο ὁ Περικλῆς πεποιηκεν, ἀλλὰ τὸν ἄρχοντα τῶν Λακεδαιμονίων χρήμασι δελεάσας ἐπὶ τῷ μὴ δῃῶσαι τὴν χώραν, ὡς ἀπόρρητον ὂν τοῦτο, οὐκ ἀναγράφων· ἔφερε γὰρ αἰσχύνην τοῖς Ἀθηναίοις, καὶ τῷ καλῶς πρὸς αὐτοὺς G
διατεθέντι ἄρχοντι ὄνειδος· κεκαλυμμένως οὕτω καὶ ἀδήλως ἔθετο, ἀνήλωσα εἰς τὸ δέον δέκα πέντε τάλαντα, ἤγουν εἰς τὸ κοινῇ συμφέρον.

154 Εἰς τὸν ἄγρὸν ἀποβλέπει: Ἐπὶ τῶν ἄνεσιν ζητούντων καὶ ἀμελῶν. Οἱ γὰρ πολεμούμενοι κ. τ. λ. Cf. Suid. p. 1627. A

155 Εἰς τετρημένον πίθον ἀντλεῖν: Ἐπὶ τῶν ἀκαταπαύστως πονούντων· ἐμυθεύοντο γὰρ Ἕλληνες τοὺς ἀσεβεῖς ἐν ᾅδου εἰς τετρημένον πίθον ἀντλεῖν, ἢ ἐπὶ τῶν μάτην πονούντων.

156 Εἰς Τροφωνίοτ μεμάντευται: Suid. p. 1627. ἐπὶ τ. σκ. καὶ ἀγελ. τοὺς γὰρ καταβαίνοντας εἰς τὸ Τροφωνίου μαντεῖον μαντεύσασθαι λέγεται τὸν ἑξῆς χρόνον ἀγελάστους διαμεμενηκέναι. Τὸν δὲ Τροφ. . . . ἀγαπίδους—αὐγαίου etc. B

157 Εἰς τὸν Ἡροδότοτ σκιάν: Ἐπὶ τῶν μὴ τελεσιουργούντων ἃ προείλοντο. Φασὶ γὰρ Ἡρόδοτον τὸν λογογράφον Ὀλυμπιάσι δεῖξαι βουληθέντα τὴν ἑαυτοῦ ἱστορίαν, ἀναβάλλεσθαι ἡμέραν ἐξ ἡμέρας, φάσκοντα σκιᾶς εἰ ἐπιλάβοιτο ἐν τῷ τεμένει τοῦ Ὀλυμπίου, δείξειν τὴν ἱστορίαν· ἐστὶ γὰρ δεινῶς προσήλιον τὸ χωρίον· ἔλαθεν οὖν αὐτὸν διαλυθεῖσα ἡ πανήγυρις οὐκ ἐπιδειξάμενον τὰς ἱστορίας. C D

158 Εἰς τὴν ἀμίδα ἀποτρεῖν: Ἐπὶ τῶν εἰς τοὺς ἀξίους ὑβριζόντων.

159 Εἰς τὴν πτῆν ἐξερρτηκε ἡ σοφία: Ἐπὶ τῶν μηδὲν χρηστὸν λεγόντων ἢ φρονούντων.

160 Εἴ τις ἐν αἰγπτπι: Cf. Suid. Cod. λείπει, οὐ φρονεῖ, ἤ τι ἄλλο τοιοῦτον· λέγεται γὰρ ἐπὶ τῶν κομιζόντων πρός τινας ἃ κέκτηνται, καὶ ὅμοιόν ἐστι τῷ· γλ. ἀθ. E

161 Εἴ τι κακὸν εἰς Πύρραν: Ἐπὶ κατάρας τάττεται. Τὸ γὰρ παλαιὸν οἱ ὅμοροι πρὸς τοὺς Πυρραίους δυσμενῶς ἔχοντες, ὅτε τι κακὸν αὐτοῖς συνέπιπτεν ἀποτροπιασμοῦ χάριν ἔλεγον, ὡς δεῖ τοῦτο πρὸς Πυρραίους τραπῆναι. F

162 Ἕκαστος τὸν ἑαττοῦ ὀβελίσκον τρέφει: Ἐπὶ τῶν φροντίδα τῶν οἰκείων ποιουμένων.

163 Ἐκ βορβόροτ φιλολογεῖς: Ἐπὶ τῶν ὠφελείας πειρωμένων λαμβάνειν, οὐκ ἐκ δικαίων. G

164 Ἐκκέκοφθ' ἡ μοτσική: Ἐπὶ τῶν παθόντων τι ἐφ' οἷς ηὐτύχουν.

165 Ἐκ κοινοῦ πλείστη χάρις λαπάνη τ' ὀλιγίστη: Ἐπὶ τῶν ἐρανιζόντων.

166 Ἐκ μητρὸς αὐλεῖς: Ἐπὶ τῶν εἰς μήτερα ἁμαρτανόντων, ἢ A
εἰς οἰκεῖόν τινα, ἢ ἐπὶ τοῦ κατὰ ζῆλον τὶ ποιοῦντος.

167 Ἑκὼν ἀέκοντί γε θυμῶι: Ἐπὶ τῶν κατ' ἀνάγκην ποιούν-
των τί.

168 Ἐκ παντὸς ξύλου καπνός: Παρ' ὅσον καὶ ὁ νάρθηξ, καὶ εἰ
μὴ ξύλον εἶναι δοκεῖ, κάπνον ἀπεργάζεται. Καὶ ἄλλη· ἐκ παν- B
τὸς ξύλου κύφων γένοιτ' ἄν· ἐπὶ τῶν ἐκ τοῦ ἰδεῖν μὲν εὐπερι-
φρονήτων, εἰς χρείας δὲ ἀναγκαίας πιπτόντων. Καὶ ἄλλη· ἐκ
παντὸς ξύλου κλῶος γένοιτ' ἂν καὶ θεός. Οἱ Δωριεῖς τὸν
κύφωνα κλῷον λέγουσι. Λέγει γοῦν ἡ παροιμία, ἐκ τοῦ αὐτοῦ
δύναται γενέσθαι καὶ καλὸν καὶ κακὸν, καὶ μέγα καὶ μικρὸν, καὶ C
ἐξ ἑνὸς πατρὸς υἱοὶ ἀνόμοιοι, δειλὸς καὶ ἀνδρεῖος.

169 Ἐκ παντὸς πρόφασις: Ἐπὶ τῶν προφάσεως οὐκ ἀπορούντων.

170 Ἐκποτέον τὴν τοῦτον: Ἐπὶ τῶν ἐξ ἀνάγκης τὰ ἑτέρων
κακὰ ὑπομενόντων.

171 Ἐκ πόντου κόνιν κυλινδεῖς: Ἤτοι ἐπὶ τοῦ ἀδυνάτου, ἢ D
ἐπὶ τοῦ ἰσχυροῦ καὶ δυνατοῦ.

172 Ἐκποτέον καὶ τὴν τρύγα: Ἐπὶ τῶν καὶ τὰ μὴ χρηστὰ
λαμβανόντων· Φερεκράτης.

173 Ἔκ τε φέρει γενέη τ' ἀγαθὴ καὶ πατρὶς ἄροτρα: Εἴρηται
ἐκ τοῦ Αἰθίοπος, ὃς οὐκ ἐβούλετο συνευνάζεσθαι τῇ τοῦ δεσπότου E
γυναικὶ, ὅμως δὲ ἀναγκασθεὶς ἔπραξε, καὶ ἀπέτεκεν ἡ γυνὴ ὅμοιον
τῷ Αἰθίοπι· ἀγανακτῶν οὖν ὁ ἀνὴρ ἐπὶ τῷ γενομένῳ, ἐξεφώνησε τὸ
προκείμενον, καὶ παρήχθη εἰς παροιμίαν.

174 Ἐκ τῆς πληρεστάτης εἰς τὴν κενοτέραν: Χρὴ μετα-
λαγχάνειν τοὺς οὐκ ἔχοντας παρὰ τῶν ἐχόντων. Πλάτων. (Sym- F
pos. p. 175 D.)

175 Ἐκ τῆς αὐτῆς φιάθου γεγονώς: Ἐπὶ τῶν παραπλησίων
καὶ ὁμοίων.

176 Ἕκτη ἡμέρα: Ἐπὶ τῶν ἀγαθῶν ἡμερῶν. Ἐν ταύτῃ γὰρ μυ-
θεύεται τοὺς θεοὺς νενικηκέναι τοὺς γίγαντας. G

177 Ἐκ τοῦ γὰρ εἰσορᾶν γίνετ' ἀνθρώποις τὸ ἐρᾶν:

178 Ἐκ τοῦ βοὸς ἡ μάστιξ: Ἐπὶ τῶν καθ' ἑαυτῶν πραγματευο-
μένων.

179 Ἐκ τῶν περιττῶν καὶ ἵπποι ἐμπίπλανται:

180 Ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις: Τῶν Δελφῶν A φοβουμένων Ἰάσονα τὸν Θετταλῆς τύραννον μετὰ τὴν ἐν Λεύκτροις μάχην, μήποτε τὸ ἱερὸν ἐλθὼν διαρπάσῃ, καὶ πυθομένων τοῦ Ἀπόλλωνος, εἶπεν· ἐμοὶ μ. τ. κ. λ. κορ., κόρας ἴσως λέγων Ἀθηνᾶν καὶ Ἄρτεμιν.

181 Ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί: Ὅτι οὐ δεῖ περὶ B τῶν μελλόντων φροντίζειν ἢ δεδιέναι.

182 Ἐν ἀοῖ τὰ σπουδαῖα: Ἐπὶ τῶν προδιαφθειρομένων διὰ τὸ ῥαθύμως ἔχειν πρὸς τὰς πράξεις. Λακεδαιμονίων γὰρ τὰς Θήβας φρουρᾷ κατασχόντων, καί τινος πρὸς Ἀρχίαν κομίσαντος ἐπιστολὴν τινὸς μηνύουσαν ἐπιβουλὴν, ὑπερθέσθαι φασὶν τὴν ἐπιστολὴν ἀνα- C γνῶναι, νυκτὸς οὔσης· καὶ εἰπεῖν "ἐν ἀοῖ τὰ σπουδαῖα," ἀντὶ τοῦ εἰς ἡμέραν περὶ τῶν σπουδαίων διαληπτέον. Νυκτὸς δὲ τῆς ἐπιβουλῆς τελεσθείσης, αὐτὸν ἀναιρεθῆναι.

183 Ἐν ἀνθ' ἑνός: Ἐπὶ τῶν ποιούντων κακῶς ἀνθ' ὧν ἔπαθον.

184 Ἐν γῆι πένεσθαι μᾶλλον ἢ πλουτοῦντα πλεῖν: (Suid.) D Ὅτι τὸ κρεῖσσον τὸ ἐν ἀσφαλείᾳ ὀλίγον, τοῦ μετὰ κινδύνου ἢ φόβου μείζονος.

185 Ἐν διχοστασίηι καὶ Ἀνδροκλέης πολεμαρχεῖ: Suid. ἐπὶ τῶν δι' ἔνδειαν εἰς χρῆσιν ἐρχομένων ἀχρήστων.

186 Ἔνθα ἂν οἱ πόδες φέρωσιν, ἐκεῖσ' ἄπιμεν: Ἐπὶ τῶν E ἀπεγνωκότων καὶ ὡς ἔτυχε τὶ ποιούντων.

187 Ἐν Καρὸς μοῖραι: Ἦγουν ἐν δούλου τάξει. Κᾶρες δὲ ἔθνος εὐτελὲς, αἰχμαλωτιζόμενον ἀεὶ καὶ δουλούμενον, ἐξ οὗ καὶ οἱ δοῦ- λοι Κᾶρες ἐλέγοντο.

188 Ἐν μύρτοι κλαδὶ τὸ ξίφος κρατήσω: Cf. Suid. Cod. F διὰ τὸ ἀνύποπτον καὶ τοῦ ὀμνύειν. Ἁρμόδιος γὰρ καὶ Ἀριστογείτων κτεῖναι θέλοντες Ἵππαρχον τὸν τύραννον, ἐν μύρτοις τὸ ξίφος ῥίψαντες, τὸν φόνον εἰργάσαντο.

189 Ἐν παντὶ μέθωι καὶ τὸ πέρδικος σκέλος: Ἐπὶ τῶν κατὰ ἀπορίαν λόγου παρελκούσῃ χρωμένων τῇ προσθήκῃ. Πέρδιξ G γὰρ ἦν τις Ἀθήνησι χωλὸς κάπηλος, οὗ διαβεβοημένου Ἡγεμὼν ὁ Θάσιος ὁπότε παρῳδῶν ἀπορήσειε, προσετίθει "καὶ τὸ Πέρδικος σκέλος."

190 Ἐν πτοίαι κέσαι, ἢ ἐν πτοίαι ἀποπατῆσαι: Πεισίστρα-

τος τὸν ἐν Πυθίᾳ ναὸν οἰκοδομῶν, τῶν μισούντων αὐτὸν διὰ τὴν A τυραννίδα προσαποπατούντων ἐκεῖ καὶ προσουρούντων, προσέγραψε λέγων· ἑαυτὸν αἰτιάσεται ὁ ἔτι προσασχημονήσας· καταφρονουμένου δὲ τοῦ γράμματος, καταλαβὼν μέτοικον ἐπὶ πολλὰς ἡμέρας μαστιγώσας πρὸ τοῦ τεμένους ἀνεῖλεν. Ἐλήφθη δὲ ἡ παροιμία ἐπὶ τῶν τιμωρίας μεγάλας ὑφισταμένων καὶ κακοπαθούντων. Cf. B B. 407. et Suid.

191 Ἐν τριόδωι εἰμὶ λογισμοῦ: Ἐπὶ τῶν πολλοῖς λογισμοῖς συνειλημμένων καὶ ἀμφιβόλων.

192 Ἐξάντης λέτω τοὐμὸν κακὸν ἄλλον ἔχοντα: Πλάτων ἐν Φαίδρῳ. Λέγεται δὲ τοῦτο καὶ ὡς παροιμία ἐπὶ τῶν τοῖς C ὁμοίοις ἐνεχομένων. Cf. Suid.

193 Ἐξ ἀξίου τοῦ ξύλου κἂν ἀπάγξασθαι: Δεῖ ἐκ καλοῦ παθεῖν τὰ δεινὰ, ἢ ἐκ κακοῦ.

194 Ἐξ ἑνὸς τὰ πάνθ' ὁρᾶν: Suid. Cod. ἐπὶ τῶν ἐξ ἑνὸς πολλὰ καταλαμβανόντων. D

195 Ἐξ ἑνὸς πηλοῦ: Ἐκ τοῦ ὁμοίου καὶ παραπλησίου, ὁμοία τῇ, "ἐκ τῆς αὐτῆς κεραμίας."

196 Ἐξηκεστίδης εἰς ὁδόν: Παροιμία. Οὗτος εὐμήχανος ὁδοὺς ἐφευρίσκειν καὶ μὴ πλανᾶσθαι ὁδοιπορῶν, ὅθεν ἡ παροιμία ἐπὶ τῶν τὰς ὁδοὺς ἀκριβῶς εἰδότων. Suid. E

197 Ἐξ ὀνύχων τὸν λέοντα: Ἐκ μικροῦ τὸ μέγα.

198 Ἔξω γλαῦκες: Suid. Cod. παροιμία ἐπὶ ἐαρινοῦ καιροῦ· οἱ γὰρ γλαῦκες χειμῶνα σημαίνουσιν οἱ θαλάττιοι.

199 Ἔξω πηλοῦ τὸν πόδα ἔχει: Ἐπὶ τοῦ ἀκινδύνου.

200 Ἔοικα βοῦς ἐπὶ σφαγὴν μολεῖν: F

201 Ἐοίκασι τοῖς ἐκ πύλου ληφθεῖσι τοῖς Λακωνικοῖς: Παροιμία ἐπὶ τῶν ὠχριώντων καὶ ἰσχνῶν. Πύλος δὲ χωρίον τῆς Λακωνικῆς, ἔνθα Κλέων στρατηγήσας τοὺς αἰχμαλώτους ἀπὸ Σφακτηρίας ἔλαβεν, οἳ ἀπὸ τοῦ τῆς αἰχμαλωσίας φόβου, καὶ τῆς πολυημέρου πολιορκίας, καὶ τῆς τῶν ἐπιτηδείων πρὸς τροφὴν G στερήσεως, ἰσχνοὶ καὶ ὠχροὶ ἦσαν καὶ δυσειδεῖς.

202 Ἔοικα τῶι τοὺς ἅλας καὶ τὸ ἔλος πριαμένωι: Ἐπὶ τῶν ἀμηγέπη δυοῖν ὄντοιν διὰ θατέρου βλαπτομένων. Ἀντίκεινται γὰρ ἀλλήλοις τὰ κτήματα, καὶ οὐδενὶ τῶν κεκτημένων λυσιτελεῖ

ἑκάτερον· εἰ μὲν γάρ τις καρποῖτο ἐκ τοῦ ἕλους, οἱ ἄλες διατή- A
κοιντο· εἰ δὲ ἔμπαλιν ἡλίῳ ὁ τόπος ἐκδίδοτο, ἐκ μὲν τῶν ἁλῶν πολὺ ἂν καρποῖτο, ἐκ δὲ θατέρου βλάπτοιτο τοῦ ἕλους αὐαινομένου.

203 Ἑορτῆς κατόπιν ἡάτσματα φέρει: Ἐπὶ τῶν ὑστεριζόντων.

204 Ἑορτὴ πόδας ἔχοτσα: Ἐπὶ τῶν ἅπαντα πρὸς τὴν ἑορτὴν ἀχθοφορούντων· ἵνα γὰρ μηδενὸς φ" ὑστερῶσιν ἅμασις (sic), σκεύη, B ἱερὰ, ἱμάτια, οἶνον, ἄρτους, ξύλα παραρτώμενοι ἐβάδιζον, ὥστε τοὺς βλέποντας ἐπιφωνεῖν, ἑορτὴ πόδας ἔχουσα. Cf. Suid.

205 Ἐπ' ἀμοότερα καθεῖδει τὰ ἥτα: Ἐπὶ τῶν ἔξω φροντίδος.

206 Ἔπεσθε μητρὶ χοῖροι: Ἐπὶ τῶν κολακευτικῶς τισὶν ἑπο- μένων τροφῆς ἕνεκα. C

207 Ἐπὶ βτρσης κλθηται: Conf. Suid. ὁ βεβαιότατος. Cod. addit, λέγεται γοῦν ἡ παροιμία ἐπὶ τῶν βοηθείας ἀξίων.

208 Ἐπὶ κνάφοτ ἔλκεις: Ἀντὶ τοῦ διαφθείρεις etc. B. 425. et Suid.

209 Ἐπιμενίδειος ὕπνος: Ἐπὶ τῶν λίαν ὑπνηλῶν· ἐξ γὰρ οὗτος D ἐκάθευδε. Λέγεται δὲ καὶ ἐπιμενίδειον δέρμα, ἐπὶ τῶν γηραιῶν· ἔζησε γὰρ οὗτος ἔτη ρν.

210 Ἐπὶ ττροῖ ἔστηκεν: Ἐπὶ κινδύνου, ἐν αὐτῇ τῇ τοῦ πράγ- ματος ἐπιτάσει.

211 Ἐπὶ τὰ μανδροβοΐλοτ: Suid. Cod. γεωφάνιον εὑρόντος, E καὶ ἐξ αὐτοῦ πλουτήσαντος, καὶ τῷ μὲν πρώτῳ ἔτει χρυσ. κριὸν θύσαντος τῇ Ἥρᾳ, τῷ δὲ δ. ἀργ. τῷ τρ. χαλκοῦν, εἶτα οὐδέν.

212 Ἔπος πρὸς ἔπος ἡρειδόμεθα: Τουτέστιν ἀντεβάλομεν, ἐφιλονεικοῦμεν.

213 Ἑστίαι θύομεν: Ἐπὶ τῶν μὴ διδόντων ἀφ' ὧν θύουσιν. Οἱ F γὰρ παλαιοὶ, ὅτε τῇ Ἑστίᾳ ἔθυον, οὐδενὶ μετεδίδοσαν τῆς θυσίας.

214 Ἑστὶ καὶ δούλων πόλις: Ἐπὶ τῶν πονηρῶς πολιτευομένων. Μνασέας γὰρ γράφει εἶναι δούλων πόλιν ἐν Λιβύῃ.

215 Ἕκατος μτσῶν παβῖν: Ἐπὶ τῶν πορρωτάτω που κατοι- κούντων. Τήλεφος γὰρ ἀποκτείνας τοὺς τῆς μητρὸς ἀδελφοὺς, νέος G ὢν, ἔφυγεν ἐκ Τεγέας, χρόνῳ δὲ ὕστερον μὴ γνωρίζων ὧν ἐστιν ἦλθεν ἐρησόμενος τὸν θεὸν τίνων εἴη γεγεννημένος. Ἡ δὲ Πυθία ἐκέλευσε πλεῖν αὐτὸν πρὸς τὸν ἔσχατον Μυσῶν, καὶ ἐλθὼν εἰς Τευθρανίαν εὗρε τὴν μήτερα, καὶ τῆς χώρας ἐβασίλευσε. Λέγοιτο

οὖν ἐπὶ τῶν ὑπερηφάνως τισὶ κεχρημένων. Καὶ εἰώθασι λέγειν, ὡς A
ἐσχάτῳ Μυσῶν κέχρηταί μοι. Cf. Suid.

216 Εὐγενέστερος Κόδροτ: Ἐπὶ τῶν πάνυ εὐγενῶν· ἦν δὲ ὁ Κόδρος ἀπὸ Δευκαλίωνος. Cf. Suid.

217 Εὐδαίμων ἡ Κόρινθος, ἐγὼ δ' εἶην Τενεήτης: Cf. Zenob. III. 96. ἐπὶ τῶν ὁμολογούντων μὲν ὀλβίαν εἶναι τινὰ πόλιν, B
προαιρουμένων δὲ ἀθορύβως ἧττονος κώμης. Ἔστι γὰρ κώμη ἐν
ᾗ ἱερὸν Ἀπόλλωνος Τενεάτου.

218 Εὔδοντα κύρτος αἴρει: Ἐπὶ τῶν ἀταλαιπώρως εὐτυχούντων· παρ' ὅσον κοιμωμένοις τοῖς ἁλιεῦσιν οἱ ἰχθύες τοῖς κύρτοις
ἐμπίπτουσιν. C

219 Εὔδοτσι λαγώ: Πρὸς τοὺς ῥαθεῖς μὲν εἶναι δοκοῦντας, τοῖς δὲ ἔργοις δραστηρίους.

220 Εἰ μὲν, ἀλλ' οὐδὲν πρὸς τὴν Παρμένοντος ἦν: Ἐπὶ τῶν πειρωμένων τὶ μιμεῖσθαι, οὐκ ἐφικνουμένων δέ. Παρμένων γὰρ
ὁ ζωγράφος ὖν γράψας ἀνέθηκεν, ἣν καὶ φωνὴν ἀφιέναι οἱ θεώμενοι D
ἐδόκουν.

221 Εὐορκότερος τελεάτου ἢ γενεάτου: Ἐπὶ τῶν εὐορκούντων.

222 Εἰ πεῖν (sic) θάλατταν: Ἐπὶ τῶν μάτην εὐεργετούντων.

223 Εἰ πράττε· τὰ φίλων δ' οὐδέν, ἢν τὶ δυσπιθῇς: Ἐπὶ τῶν παρὰ φίλων μὴ ὠφελουμένων. E

224 Εὐριπίδειος ὅρκος: Ἴσως ὁ κατὰ κυνὸς ἢ χηνός.

225 Εὔριπος: Πέλαγος, ὃ ἑπτάκις τῆς ἡμέρας τρέπεται. Ἀφ' οὗ καὶ παροιμία Εὐρίπου μεταβολαί, ἀπὸ τοῦ εὖ καὶ τοῦ ῥιπίζω,
ὁ εὐρίπιστος.

226 Εὐρυκλῆς μαντεύεται: Ἐπὶ τῶν ἐπ' ὀλέθρῳ σφῶν αὐτῶν F
μαντευομένων. Εὐρυκλῆς γὰρ ἐδόκει δαίμονά τινα ἐν τῇ γαστρὶ
ἔχειν, τὸν ἐγκελευόμενον αὐτῷ περὶ τῶν μελλόντων λέγειν· ὅθεν
καὶ ἐγγαστρίμυθος ἐκαλεῖτο. Οὗτος δὲ προειπὼν ποτὲ τινὶ τὰ
μὴ καθ' ἡδονὴν, ἀνῃρέθη.

227 Εὖ' ὕδωρ ἔλαχεν: Ἐπὶ τῶν φαύλας καὶ εὐτελεῖς ἀρχὰς G
λαχόντων· ἐν γὰρ τοῖς δικαστηρίοις φαυλότατον ἦν τὸ ἔργον τὸ
διαμετρεῖν ὕδωρ τοῖς δικαζομένοις, ὅθεν καὶ κλήρῳ τοῦτο ἐποίουν.

228 Ἑκενηΐς: Ἡ κρατοῦσα τὴν ναῦν ἄγκυρα. Ἔστι δὲ καὶ εἶδος ἰχθύος, ὃς δύναμιν ἔχει ἐπέχειν τὰς ναῦς. Καλεῖται δὲ

καὶ ναυκράτης· ὅθεν καὶ παροιμία· ἐχενηΐδος αἴκην ἔχεται. A
Πρὸς τὸν τινὸς ἐχόμενον.

229 Ἐχθρῶν ἄωρα δ. κοὐκ ὀν.: Ὅταν αἱ παρ' ἐχθρῶν δωρεαὶ βλάβην οἴσουσιν. Cf. Suid.

230 Ἐχθρὸς δὲ κἂν καλὰ ποιήσῃ, κακά ἐστιν:

231 Ἐχῖνος ἐν χειμῶνι: Ἐπὶ τῶν παρ' ὥραν φαινομένων ἢ B
πραττομένων.

232 Ἔχω τὸ σχῆμα τοῦ τεθνεῶτος: Ἐπὶ τῶν ἑαυτοὺς ἀπεγνωκότων.

233 Ζεῖ χύτρα, ζεῖ φιλία: Παροιμία, ὅτι ὅταν πλουτῇ τις, φίλους ἔχει. Suid. C

234 Ζετὸς γὰρ κατῄει χρόνιος εἰς τὰς διφθέρας: Ὅτι οὐκ ἀπρονόητα τὰ τῶν θεῶν. Διφθέραι δὲ τόπος ἦν εὐτελὴς, ἐν ᾧ ἁμαρτήσαντες μόλις ἐκολάσθησαν οἱ οἰκήτορες.

235 Ζῇ καὶε πῦρ: Ἐπὶ τῶν μόλις γενομένων. Suid.

236 Ζήνωνος ἐγκρατέστερος: Οὗτος γὰρ ἄκραν εἶχε δίαιταν D
καὶ λιτήν. Καὶ Ζήνωνος τριέστερος: Οὗτος γὰρ ὀκτὼ πρὸς τοῖς ἐννενήκοντα ἔτη βιοὺς, οὐκ ἐνόσησεν.

237 Ζῇ χύτρα ζῇ φιλία (sic): Ὅτι τοῖς δυστυχήσασιν οὐκ εἰσὶ φίλοι.

238 Ἡ γαῦττα τῇ κήρτκι τέμνεται: V. Suid. usque ad ἀπο- E
νέμεσθαι. Tum Cod. ἡ γαῦττα τῇ κήρτκι τοῦτο γίνεται. Αἰτία, ἐπὶ τῶν βλάσφημα λεγόντων.

239 Ἡ γαῦττ' ἀνέγνωκ' ἢ δὲ φρὴν οὐ μανθάνει: Ἐπὶ τῶν ἀμαθῶν.

240 Ἡ γρᾶς τὰς ἀγαθίδας ἐκπίνουσα, ταῦτα μὲν ἀγαθίδες. F
Ἐπὶ τῶν ἄγαν μεθύσων. Καὶ πάλιν· ἡ γρᾶς τὸ ἄροτρον ἐκπίνουσα, φ" οἷα κακὰ τὴν γῆν ἀναστρέφει.

241 Ἡ θράττα ἐπὶ τῇ ταρίχει: Ἐπὶ τῶν κρυπτόντων τὰ ἴδια πάθη, ἢ ἐπὶ τῶν προφασιζομένων ἵνα τύχωσιν τινός. Καὶ γὰρ ἡ Θράττα φίλοινος οὖσα, διψῇν ἔφασκε, διὰ τὸ φαγεῖν τάριχος. G

242 Ἤθη φίλων γίνωσκε, μιμήσει δὲ μή: Ὅτι οὐ δεῖ πάντα φίλῳ ἕπεσθαι.

243 Ἡ κάμηλος φωρίσασα πολλῶν ὄνων ἀνατίθεται φορτία:

Ἐπὶ τῶν γηρασάντων ἀνδρείων, ἢ ἐπὶ τῶν δυστυχησάντων μὲν, A
πάλιν δὲ δυναμένων. Cf. Diog.

244 Ἡ ΚΑΤΝΙΑ ΒΟΤΣ: Ἐπὶ τῶν ὅσα πονήσουσιν ἀπολλύντων, ταύτῃ γὰρ πολὺ μὲν ἠμέλχθη γάλα, λακτίσασα δὲ ἀνέτρεψεν.

245 Ἢ ΛΕΓΕ ΤΙ ΣΙΓΗΣ ΚΡΕΙΤΤΟΝ, Ἢ ΣΙΓΗΝ ΕΧΕ: Ἐπὶ τῶν οὐκ ἄξια λεγόντων. B

246 Ἡλιάδων ΔΑΚΡΤΑ: Ἐπὶ τῶν πολλὰ ἐχόντων χρήματα, παρ' ὅσον τὰς Ἡλιάδας αἰγείρους Φαέθοντα θρηνούσας τὸν ἀδελφὸν, στάζειν δάκρυα τὸν ἤλεκτρον οἱ Ἕλληνες ἐμυθεύσαντο, ἡλίου δὲ τέκνα Φαέθων καὶ αἱ αἴγειροι.

247 Ἡλιθιώτερος ΛΕΤΚΟΛΟΦΟΤ: Οὗτος ἀποδόμενος τὴν οἰκίαν, C
ἀντεποιεῖτο τοῦ φρέατος. Καὶ

248 Ἡλιθιώτερος τοῦ Πραξίλλης Ἀδώνιδος: Ἐπὶ τῶν ἀνοήτων. Πράξιλλα γὰρ ἡ Σικυωνία μελοποιὸς ἐν τοῖς ὕμνοις εἰσάγει τὸν Ἄδωνιν ἐρωτώμενον ὑπὸ τῶν καταχθονίων, τί κάλλιστον καταλιπὼν ἐλήλυθεν, ἐκεῖνον δὲ λέγοντα οὕτως, D

> Κάλλιστον μὲν ἐγὼ λείπω φάος ἠελίοιο·
> δεύτερον ἄστρα φαεινὰ, σελαναίης τε πρόσωπον,
> ἠδὲ καὶ ὡραίους σικύους καὶ μῆλα καὶ ὄχνους.

Εὐήθης γάρ τις ἴσως ὁ τῷ ἡλίῳ καὶ τῇ σελήνῃ τοὺς σικύους καὶ τὰ λοιπὰ συναριθμῶν. Cf. Zenob. E

249 Ἡλίβατον: Τὸ ὑψηλὸν ὄρος, τῷ ἡλίῳ ὂν μόνῳ βατόν. Καὶ παροιμία, ΗΛΙΒΑΤΟΝ ΚΑΚΟΝ, ἐπὶ τῶν σφόδρα δεινῶν.

250 Ἥλιε ΗΛΙΚΑ ΤΕΡΠΕΙ: Πλάτων λέγει· τὸ δὲ ἐντελὲς, ΓΕΡΩΝ ΔΕ ΤΕ ΤΕΡΠΕΙ ΓΕΡΟΝΤΑ. Cf. Suid.

251 Ἥλιοι ΤΟΝ ΗΛΟΝ ΕΚΚΡΟΤΕΙ: Ἀντὶ τοῦ κακῷ τὸ κακὸν ἰᾶται. F

252 Ἡμένη ΠΕΛΙΑΣ: Ἐπὶ τῶν ἁπλουστάτων, κατὰ ἀντιπαρεξέτασιν τῆς παλευτρίας· αἱ γὰρ ἐξιπτάμεναι ἀπατῶσιν ἑτέρας, παλεῦσαι γὰρ τὸ ἀπατῆσαι σημαίνει. Cf. B. 469.

253 Ἤτοι ΚΡΙΝΟΝ Ἢ ΚΟΛΟΚΥΝΤΗ: Ἐπὶ τῶν ἀθήλων. Τὸ γὰρ τῆς κολοκύνθης ἄνθος καλεῖται κρίνον. Ἄθηλον δὲ ἀνθῆσαν εἰ G
μέχρι κρίνου προβήσεται ἢ καὶ καρπὸν οἴσει. Μέμνηται ταύτης Μένανδρος. Cf. Zenob.

254 Ἡ ΦΑΝΟΤ ΘΥΡΑ: Cf. Suid. Cod. ἐπὶ τῶν μετὰ μεγάλου

κτύπου ἀνοιγομένων θυρῶν. Φασὶ γὰρ τὸν Φάνον τυφλὸν εἶναι, καὶ δεδοικότα μὴ ὑπὸ κλεπτῶν τὰ ἔνδον συληθείη, τοιαύτην κατασκευάσαι τὴν τοῦ οἴκου θύραν, ὡς μὴ δίχα ψόφου ἀνοίγεσθαι. Οἱ δὲ φασὶν ὅτι διὰ τὸ μοιχεύεσθαι τὴν αὐτοῦ γυναῖκα τοῦτο ἐποίησε. Τῆς δὲ ἀπὸ τῆς στέγους (sic) εἰσαγούσης τὸν μοιχὸν, τοὺς γείτονας χλευάζοντας λέγειν, ἐπὶ τῶν μηδὲν ἀνυόντων ἐν ταῖς φυλακαῖς, ἡ ΦΑΝΟΤ ΘΥΡΑ. Cf. Suid. A B

255 Ἡφαίστοτ δεσμὸς ἢ ἡφαίστειος δεσμός: Ἐπὶ τῶν ἀφύκτων καὶ ἀλύτων δεσμῶν. Ἥφαιστος γὰρ τὸν Προμηθέα στερρῶς ἐδέσμευσεν. Cf. Suid.

256 Θεὸς ἡ ἀναίδεια: Λέγεται κατὰ τῶν δι' ἀναισχυντίαν τινὰ ὠφελουμένων. Ἐτιμᾶτο δὲ καὶ ἐν Ἀθήνῃσιν ἡ ἀναίδεια. Cf. Zenob. C

257 Θεὸς ἐκ μηχανῆς: Ἐπὶ τῶν ἐκ παραλόγου τινὰ βοήθειαν εὑρισκομένων. Ἐν γὰρ ταῖς τραγῳδίαις ἐξ ἀφανοῦς θεοί τινες ἐπὶ τῆς σκηνῆς ἀπὸ μηχανῆς ἀνεφαίνοντο. Suid. D

258 Θεοὶ μολοττικοί: Οἱ κύνες· ἢ ὅτι ψυχοπομποὶ ἐν Μολοττίᾳ. Ἐπὶ τῶν φοβουμένων τὰ φόβου ἄξια.

259 Θερσίτειον βλέμμα, καὶ Θερσίτειον εἴδωλον: Παροιμία ἐπὶ τῶν πάνυ δυσειδῶν, ἐπεὶ καὶ ὁ Θερσίτης τοιοῦτος ἦν.

260 Θετταλικὸν σόφισμα: Ἐπὶ τῶν πανούργων καὶ εὐμεθόδων ἔργων. Λέγεται δὲ καὶ ἐπὶ τῶν ἀεὶ ἀναβαλλομένων τὸ παρ' αὐτῶν ὑπεσχημένον, δι' οἰκεῖον κέρδος. Ἀράτιος γὰρ ὁ ἐκ Θετταλίας ηὔξατο δοῦναι τῷ Ἀπόλλωνι, εἰ περιγένοιτο τῶν ἐχθρῶν, ἑκατόμβην ἀνδρῶν, καὶ τυχὼν οὐκ ἐποίει, διὰ τὸ μὴ ἱεροπρεπῆ εἶναι λέγων τὴν τοιαύτην θυσίαν. Suid. E F

261 Θρᾷκες ὅρκια οὐκ ἐπίστανται: Λέγεται ἐπὶ τῶν τοῖς ὅρκοις οὐκ ἐμμενόντων, παρ' ὅσον οἱ Θρᾷκες ποτὲ σπεισάμενοι πρὸς τοὺς Βοιωτοὺς καὶ ὁμόσαντες, νυκτὸς ἐπιθέμενοι τοὺς πολλοὺς αὐτῶν ἀπέκτειναν. Cf. Suid.

262 Θρακεία παρετρεσις: Ἐπὶ τῶν δολίως τὶ μηχανωμένων καὶ χαλεποῖς ἔργοις λόγους εὐπροσώπους ἐξευρισκόντων· Θρᾷκες γὰρ ἡττηθέντες ὑπὸ Βοιωτῶν περὶ Χερώνειαν, (sic) καὶ σπεισάμενοι, θύουσι τἀπινίκια τοῖς Βοιωτοῖς νυκτὸς ἐπέθεντο· καὶ πολλοὺς αὐτῶν ἀνεῖλον, τινὰς δὲ καὶ ἐζώγρησαν. Ἀγανακτούντων δὲ Βοιωτῶν ἐπὶ G

τῷ παρεσπονδῆσθαι, ἔφασαν οἱ Θρᾶκες, ὅτι τὰς ἡμέρας, ἀλλ' οὐ A
τὰς νύκτας ἐσπεισάμεθα. Suid.

263 Θύραζε Κάρες οὐκέτ' Ἀνθεστήρια: Suid. Cod. Ἀνθεστήρια ἑορτὴ ἦν οὕτω καλουμένη, ἐν ᾗ καὶ οἱ δοῦλοι, οἷς Κάρες ἐλέγοντο, ἀργοὶ καὶ εὐωχούμενοι ἦσαν. Μετὰ δὲ τὴν ἑορτὴν οἱ δεσπόται τῆς οἰκίας ἐκβάλλοντες αὐτοὺς καὶ πρὸς ἔργα προτρέ- B
ποντες ἔλεγον· "Θύραζε Κάρες οὐκέτ' Ἀνθεστήρια."

*263 Θύραθεν: Ἐκ τῆς θύρας καὶ ἀντὶ τοῦ ἐγγὺς, καὶ ἀντὶ τοῦ ἐκτὸς, καθὰ φαμὲν ἐκ τῶν θύραθεν ἢ ἀπὸ τῶν ἐκτός. Εἴληπται δὲ ἀπὸ τῶν αἰτούντων πτωχῶν καὶ ἔξω τῆς θύρας ἱσταμένων.

264 Ἰάλεμος: Εἶδος θρήνου, ἢ ἐπὶ τοῖς ἀπολωλόσιν ἀνία, καὶ ὁ C
υἱὸς Καλλιόπης, καὶ ὁ ὀρφανός· ἔνιοι δὲ καὶ τὸν κακοδαίμονα καὶ τὸ εὐτελές. Ἰαλεμώδη τὰ ψυχρὰ καὶ οὐδενὸς ἄξια, ἢ τὰ θρηνώδη.

265 Ἴδε πῦρ ἴδ' ἀφύη: Ἐπὶ τῶν ὀξὺ τέλος λαμβανόντων, παρ' ὅσον ἡ ἀφύη ταχέως ἕψεται. Suid. D

266 Ἱερὰ ἄγκτρα: Πρὸς τοὺς ἐφ' οἷς λέγουσι διισχυριζομένους.

267 Ἱερείας ἐνύπνιον: Ἐπὶ τῶν ἐξ ἐνυπνίων κακὰ παθόντων· λέγεται δὲ καὶ Ἱμεραίας ἐνύπνιον. Ἱμεραία γάρ τις ἱέρεια καθ' ὕπνους εἰς οὐρανὸν εἶναι ἔδοξε, καὶ τῷ τοῦ Διὸς θρόνῳ ἰδεῖν ἀλύσει E
δεδεμένον τινὰ, περὶ οὗ ἐρωτήσασαν μαθεῖν τὸν Σικελίας εἶναι ἄρχοντα, ὕστερον δὲ ἰδοῦσα Διόνυσον τυραννήσαντα, αὐτὸν εἶναι εἶπεν ὃν καθ' ὕπνους ἑώρακε. Καὶ ὀργισθεὶς ἀπέκτεινεν αὐτὴν ὁ Διόνυσος. Cf. Suid.

268 Ἱερὸν ἡ συμβολή: Ἐπὶ τῶν καθαρῶς καὶ ἀδόλως συμβου- F
λευόντων. Δεῖ γὰρ τὸν συμβουλεύοντα μὴ τὸ ἴδιον σκοπεῖν. Τὸ γὰρ ἱερὸν οὐδενὸς ἴδιον, ἀλλὰ τῶν χρωμένων ἐστὶ κοινόν.

269 Ἴθι ὀρθός: Ἐπὶ τῶν τοῦ δικαίου ἐκτρεπομένων.

270 Ἵνα μὴ φάγῃς σκόροδα, μηδὲ κτάμοτς: Ἐπὶ τῶν ἡσυχῇ ζώντων. Ἔθος γὰρ ἦν τοῖς ἐν πολέμῳ ἀπιοῦσιν ἐσθίειν σκόροδα, G
τοὺς δὲ δικαστὰς κνάμους, ἵνα μὴ κοιμηθῶσιν. Οἱ γοῦν δικάζοντες καὶ ἐν πολέμῳ ἀπῄρχοντο βίας καλούσης. Cf. Suid.

271 Ἱππέας εἰς πεδίον καλεῖ: Cf. Suid. Cod. ἐπὶ τῶν καλούντων τινὰς εἰς ἃ ἐρῶσιν.

272 Ἱππεῖς ἐν θετταλίαι καὶ θράκηι: Παροιμία. A

273 Ἵππος με φέρει, βασιλεύς με τρέφει: Ἐπὶ τῶν ἐξ ἀλλοτρίων τρυφώντων. Cf. Diog.

274 Ἵππου γῆρας: Ἐπὶ τῶν πρὸς τῷ γήρᾳ δυστυχούντων.

275 Ἵππος εἰς πεδίον: Παροιμία ὁμοία τῇ, ἄλλος εἰς πῦρ.

276 Ἴσα πόλεμον οὐ ποιεῖ: Ὁμοία τῇ, ἰσότης φιλότης. B

277 Ἴσαι ψῆφοι: Ἐπὶ τῶν ἐν δικαστηρίῳ ἀντικρινομένων, καὶ μηδενὸς καταβεβλημένου. Αἰσχίνης κατὰ Κτησιφῶντος.

278 Κάβος: Εἶδος μέτρου. Καὶ παροιμία κάβος κάβοτ.

279 Καδμεία νίκη: Cf. Suid. Cod. λέγεται ἐπὶ τῶν ἐπὶ κακῶν νικώντων. Οἱ μὲν λέγουσιν ὅτι Θηβαῖοι νικήσαντες ὕστερον ὑπὸ C τῶν Ἐπιγόνων ἡττήθησαν, οἱ δὲ διὰ Ἐτεοκλέα καὶ Πολυνείκην λέγουσιν, οἵ τινες μονομαχήσαντες ὑπ' ἀμφοτέρων ἀπώλοντο.

280 Καὶ ταῦτ' ἔχοντες κτημάτων ἐν ἀγκάλαις: Ἀντὶ τοῦ ὄντες ἐν πολλοῖς κινδύνοις.

281 Καὶ κεραμεὺς κεραμεῖ κοτέει: Ἐπὶ τῶν ὁμοτέχνων διαD φθονουμένων.

282 Καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει: Ἀντὶ τοῦ παντὶ τρόπῳ, καὶ ἔργοις δηλαδὴ, ὃ δηλοῖ διὰ τοῦ χερσὶ, καὶ κατανεύσει, τοῦτο γὰρ σημαίνει τὸ κόμαισι, καὶ βαδίσει, ὃ δηλοῖ διὰ τῶν ποδῶν καὶ τῆς βάσεως. E

283 Κακὰ κακῶν: Τὰ ὑπερβολικὰ κακά.

284 Κακοῦ κόρακος κακὸν ᾠόν: Ἐπὶ τῶν κακῶν γεννημάτων ἢ μαθημάτων.

285 Καλλίοτ: Πιθήκου. Τὰ δυσχερῆ γὰρ τῶν ὀνομάτων εὐφημότερον εἰώθασιν οἱ Ἀττικοὶ προσφέρεσθαι, καὶ τὸν πίθηκον οὖν καλF λίαν προσηγόρευσαν, οὕτω καὶ τὰς Ἐριννύας Εὐμενίδας λέγουσιν.

286 Καλλικτρίων παῖοτς: Cf. Suid. Cod. τοῦτο ἐλέγετο εἴποτε πλῆθος ἤθελον ἐμφῆναι. Οἱ γὰρ Καλλικύριοι δοῦλοι ἦσαν, πλείους τῶν κυρίων αὐτῶν, ὥστε καὶ αὐτοὺς ἐξέβαλλον.

287 Κάλως: Τὸ παχὺ σχοινίον τῆς νηός. Καὶ παροιμία· πάντα G κάλων κινεῖν, ἀντὶ τοῦ πάντα τρόπον ποιεῖν, ἐπὶ τῶν ἀπορούντων.

288 Κανθάροτ μελάντερον· καὶ κανθάροτ σοφώτερος: Ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κάνθαρος γάρ τις ἐγένετο κακοῦργος

καὶ πονηρὸς, ὃς ἐπὶ προδοσίᾳ κριθεὶς Ἀθήνῃσιν ἀπέθανεν· οἱ δὲ κάπηλον ὄντα φασὶν ἀπερισκέπτως ἐπιθέσθαι τυραννίδι, καὶ ἀπολέσθαι. Οἱ δὲ παρὰ τὸ ζῶον· παρ' ὅσον κάνθαρος ἐγκυλίων ἑαυτὸν τῇ κόπρῳ, καὶ ἐπὶ τὴν καλιὰν ἀνερχόμενος τοῦ ἀετοῦ, ἐκκυλίει αὐτοῦ τὰ ᾠά. Cf. Zenob. A

289 Καπνοῦ σκιά: Ἐπὶ τῶν λίαν ἰσχνῶν, καὶ ἐπὶ τῶν ἀστάτων καὶ ἀφανῶν. B

290 Καρκίνου πορεία: Ἡ ἀργὴ καὶ δυσδιόρθωτος.

291 Κενοὶ κενὰ λογίζονται: Παροιμία ἐπὶ τῶν ἀφρόνων μελετημάτων.

292 Κεστρεὺς νηστεύσεις: Λέγεται ἐπὶ τῶν δικαιοπραγίᾳ βιούντων, καὶ νηστευόντων. Μόνος γὰρ ὁ κεστρεὺς τῶν ἄλλων ἰχθύων ἀλληλοφαγούντων ἀπέχεται σαρκοφαγίας, νέμεται δὲ ἰλύν. Κεστρεὺς δὲ ὁ νῦν κέφαλος. C

293 Κοινὰ τὰ τῶν φίλων: Κέχρηται τῇ παροιμίᾳ Μένανδρος. Ἀπὸ δὲ Πυθαγόρου φασὶ τὴν ἀρχὴν ταύτην λαβεῖν, πείθοντος τοὺς μαθητὰς κοινὰς τὰς οὐσίας ποιεῖσθαι. Cf. Suid. D

294 Κρόνου πτῆ: Ἀπὸ τοῦ ἀρχαίου καὶ ἀναισθήτου μέρους, ἐπὶ τῶν ἀναισθήτων. Cf. Suid.

295 Κρότωνος τριέτερος: Ἐπὶ τῶν πάνυ ἐρρωμένων καὶ ἰσχυρῶν. Κρότων γὰρ ἐγένετό τις ἀθλητὴς Συρρακούσιος. Suid. E

296 Κύνα δέρειν δεδαρμένην: Τὸ τοῦ Φερεκράτους. Ἐπὶ τῶν μάτην πονούντων, ἢ τῶν προπεπονθότων τί. Suid.

297 Κύων ἐν προθύρῳ: Ἐπὶ τῶν ἐν τοῖς δικαίοις τολμηρῶν.

298 Κύων ἐν Ῥόδοις: Ἐπὶ τῶν μὴ αἰσθανομένων ἐν μεγάλοις ὄντων· ἢ ἐπὶ τῶν μείζοσιν ἢ καθ' αὑτοὺς ὄντων. F

299 Κύων κυνὸς οὐχ ἅπτεται: Ἐπὶ τῶν τοὺς ὁμοίους φυλαττομένων.

300 Λάβρακας Μιλησίους: Cf. Suid. Cod. ὅταν ἐν ἀγορᾷ εἰς πλῆθος φανῶσιν. Ἐν γὰρ τῇ Μιλήτῳ πλεῖστοι τε καὶ μέγιστοί εἰσιν. G

301 Λαγὼς περὶ τῶν κρεῶν: Λείπει τὸ τρέχει· ἐπὶ τῶν ἐπὶ τοῖς μεγίστοις διακινδυνευόντων. Cf. Suid.

302 Λεσβίων ἀξιά: Παροιμία ἐπὶ τῶν ἀπράκτων· οἱ δὲ, ἐπὶ τῶν ἀμεταδότων. Cf. Suid. ubi Ἄξια.

303 Λετκὴ ἡμέρα: Ἡ ἀγαθὴ, καὶ ἐπ' εὐφροσύνῃ, καὶ λετκὸν A
ἄγαθὸν, ἐπὶ τοῦ ἡδέος. Cf. Suid.

304 Λετκόπτγος: Ἐπὶ τῶν δειλῶν καὶ ἀνάνδρων. Τοιοῦτοι γὰρ οἱ μὴ πονοῦντες ἐν ἔργοις. Τούτῳ δὲ ἐναντίον τὸ μελάμπυγος, ἐπὶ τῶν γενναίων. Οἱ γὰρ πονοῦντες ἔντριχον ἔχουσι τὴν πυγήν.

305 Λετκοὶ τοὺς δειλοὺς ὀνειδίζοτσιν: Ἐπὶ τῶν ἑτέροις τὰ B
προσόντα αὐτοῖς κακὰ προσφερόντων, παρ' ὅσον οἱ λευκοὶ δειλοί.

306 Λετκὴ φῆφος: Ἐπὶ τῶν νικώντων, παρ' ὅσον ἡ μέλαινα ἧτταν ποιεῖ.

307 Λετκὴν μάζαν φτρῶ σοι: Παροιμία ἐπὶ τῶν μεγάλα ὑπισχνουμένων. C

308 Λεχὼ λέαιναν καὶ κακὸς κτῶν φοβεῖ: Πρὸς τοὺς πεφοβημένους τὰ μὴ δέους ἄξια, παρ' ὅσον ἡ λέαινα τεκοῦσα καὶ τὰ μικρὰ φοβεῖται.

309 Λεὼν ξίφος ἔχων: Ἐπὶ τῶν φύσει μὲν ἀνδρείων, ἑτέραν δὲ προσλαμβανόντων ἔξωθεν βοήθειαν. D

310 Λήθαργος κτῶν: Ἐπὶ τῶν λάθρα καὶ σιωπῇ κακῶς τινὰ διαπραττομένων, παρ' ὅσον καὶ οἱ τοιοῦτοι κύνες λάθρα δάκνουσιν.

311 Λήμνιον κακόν: Τὸ μέγα καὶ ἀπάνθρωπον. Αἱ Λήμνιαι γὰρ τοὺς οἰκείους ἄνδρας ἀνεῖλον. Λήμνιον βλέπων: Ἀντὶ τοῦ κακὸν, ἢ πυρῶδες, ἀναφορὰ ἐν Λήμνῳ πυρὸς χαλεπή τις. E

312 Λίθωι λαλεῖς: Ἐπὶ τῶν ἀναισθήτων.

313 Λιμὸς Μηλιαῖος: (Cf. Suid.) Ἐπὶ τῶν χαλεπῶν λιμῶν· ἐπεὶ Ἀθηναῖοι ἐκάκωσαν Μηλίους πολιορκοῦντες λιμῷ, ὡς Θουκυδίδης ἐν πέμπτῃ.

314 Λοκρικὸς βοῦς: Ἐπὶ τῶν εὐγενῶν. F

315 Λοκρῶν ξτνθήματα: Ἐπὶ τῶν παρακρουομένων καὶ παραβαινόντων τὰς συνθήκας. Suid.

316 Λτγκέως ὀξύτερον βλέπει: Ἐπὶ τῶν ὀξυδορκούντων. Οὗτος γὰρ ὁ Λυγκεὺς εὗρε τὰ ὑπὸ γῆν μέταλλα χρυσίου καὶ κασσιτέρου, καὶ τὰ λοιπὰ (sic)· οἱ δέ φασιν ὅτι ὁ λυγκεὺς θηρίον ἐστὶ ὀξυδερ- G
κέστατον. Cf. Suid.

317 Λύκειον ποτόν: Sicut Suid. Post εὑρεθείσης in marg. Ἀπόλλων ὁ Λύκιος δύο πηγὰς ἐποίησεν, ὧν ἡ μὲν μέλιτος, ἡ δὲ οἴνου ἦν.

318 Λύκος ἔκανεν: Ἐπὶ τῶν ἐλπιζόντων μέν τι ἕξειν, διαμαρ- A
τόντων δέ.

319 Λύκος χανών: Ἐπὶ τῶν ἀπράκτων. Cf. Suid.

320 Λύκοι δεκάς: Ἐπὶ τῶν πονηρῶν καὶ προδοτῶν, Λύκος γάρ
τις ἥρως πρὸς τοῖς δικαστηρίοις ἵδρυτο. Οἱ δὲ Λύκου μορφὴν
ἔχων, πρὸς ὃ οἱ δωροδοκοῦντες κατὰ δέκα γινόμενοι, ἐπὶ καταψη- B
φισμῷ τινῶν καὶ καταλύσει ἀνεστρέφοντο. Οἱ δὲ, ταύτην τὴν
παροιμίαν λέγουσιν ἐπὶ τῶν ὀλίγον λαμβανόντων, ἐπεὶ Λύκος ὁ
ἥρως ἵδρυτο παρὰ τοῖς δικαστηρίοις. Ἀφώριστο δὲ αὐτῷ τριώ-
βολον τῆς ἡμέρας. Cf. Suid.

321 Λύκοι στέγη: Ἐπὶ τοῦ πενιχροῦ παντάπασι καὶ οὐδὲν ἔχον- C
τος ἀποκείμενον.

322 Λύκος λέοντι συμβάλλει πεφραγμένοι: Ἐπὶ τῶν ἀσθενῶν
καὶ δυνατωτέροις συμβαλλόντων.

323 Λύκος ἐν αἰτίαι γίνεται κἂν φέρηι κἂν μὴ φέρηι: Πρὸς
τὸν ἐκ παντὸς τρόπου ἐν αἰτίᾳ γινόμενον. D

324 Λύκος κρέας νέμει: Ἐπὶ τοῦ πλεονεκτεῖν καὶ διδόναι βου-
λομένου.

325 Λύκος αἶγας ἐκκαλῶν: Ἐπὶ τῶν καθυποκρινομένων φιλίαν
ἐχθρῶν.

326 Λύκοι ῥήματα: Ἐπὶ τοῦ καὶ λόγοις καὶ ἔργοις ἀδικοῦντος. E

327 Μαντικὴ φυχή: Ἐπὶ τῶν τὰ μέλλοντα προορωμένων. Πλά-
των Φαίδρῳ.

328 Μεγαρικαὶ σφίγγες: Αἱ πόρναι, ἀπὸ πόρνης ἐν Μεγαρεῦσιν
οὕτω καλούμενης. Ἴσως ἐντεῦθεν καὶ σφίκται etc. Cf. Suid.

329 Μέγα τὸ στόμα τοῦ ἐνιαυτοῦ: Ἀντὶ τοῦ πολλῆς εὐφορίας F
γινομένης. Cf. Suid.

330 Μελαμπύγοι στυπτίχοις: Cf. Zen. Suid. Cod. ἐπὶ κατά-
ρας τίθεται. Θείας γὰρ τῆς Ὠκεανοῦ γεγόνασι παῖδες δύο, οἳ
καὶ λεγόμενοι Κέρκωπες. Τούτοις ἀπατῶσι πάντας εἶπεν ἡ
μήτηρ ἀπεύξασθαι μὴ περιτυχεῖν μελαμπύγῳ. Χρόνῳ δὲ ὕστερον G
τούτους ὁ Ἡρακλῆς, ἐξαπατῆσαι αὐτὸν πειραθέντας, λαβὼν καὶ
δήσας, ἔφερεν ἐπὶ τῶν ὤμων, ἄνω μὲν ἀναλαβὼν τοὺς πόδας, τὰς
δὲ κεφαλὰς κάτω, ἰδόντες δὲ τὴν πυγὴν τοῦ Ἡρακλέος μέ-
λαιναν, καὶ ἀναμνησθέντες τῶν τῆς μητρὸς λόγων, ἐγέλασαν· ἐφ'

οἷς ὀργισθεὶς ὁ Ἡρακλῆς καὶ συρράξας τῇ γῇ τὰς κεφαλὰς, ἀπ- A
έκτεινεν· ὅθεν καὶ ἡ παροιμία ἐλήφθη.

331 Μελίπηκτον: Εἶδος πλακοῦντος· καὶ παροιμία, Μελίπηκτα κίνες· ἐπὶ τῶν παρ' ἀξίαν τὰ κάλλιστα ἀπολαυόντων.

332 Μερὶς οὐ πνίξ: Ὅμοιόν ἐστι τῷ, ἰσότης φιλότης, τῶν δυνατ. ἁρπαζόντων—πνιγομένων. Cf. Suid. B

333 Μετὰ λέσβιον ᾠδόν: Cf. Suid. Cod. ἐπὶ τῶν τὰ δεύτερα φερομένων. Λακεδαιμονίων γάρ ποτε παρὰ τὰς συνουσίας ἐξυβριζόντων εἰς σφὰς αὐτοὺς, καὶ πυθομένων πῶς ἂν τὸ κακὸν τῆς ὕβρεως λυθείη, ἔχρησεν Ἀπόλλων, τὸν Λέσβιον ᾠδὸν μεταπέμπεσθαι· τὸν δὲ Τέρπανδρον ἐκ Λέσβου μεταπεμψαμένων, καὶ διὰ C
τούτου παρὰ τὰς εὐωχίας ὑπὸ τῆς μουσικῆς ἁρμοζομένων τὰς ψυχὰς, λῆξαι τὸ κακὸν, καὶ τὴν παροιμίαν ληφθῆναι.

334 Μέτωνος ἐνιαττός: Ἐν ᾧ ἐκλείπουσι τὰ νοσήματα, οὗτος γὰρ ἄριστος ἰατρὸς ἦν. Cf. Suid.

335 Μηδὲ μέλι, μηδὲ μελίσσας: Ἐπὶ τῶν δι' ὀλίγον καλὸν D
μεγάλοις κακοῖς περιπεσοῦσι. Cf. Suid.

336 Μηδὲν ὑπὲρ τὰ καλάποδα: Ἀντὶ μηδὲν ὑπὲρ τὸ μέτρον. Καλάποδον γάρ ἐστι τὸ τοῦ σκυτέως. Μύρριχον γὰρ τὸν σκυτέα φασὶ τοῦτο εἰπεῖν.

337 Μηδ' ἄκανθα ἀμήσει οἱ: Λείπει τοὺς ἀγαθούς. Cf. Suid. E

338 Μήλειος Ἡρακλῆς: Ἐπὶ τῶν εὐτελῶν· ἦν γὰρ ἄγαλμα Ἡρακλέους ᾧ μόνα μῆλα καρποὺς ἔθυον. Cf. Suid.

339 Μήτε νεῖν, etc.: Cf. Suid. Cod. addit in f δύο δὲ αὗται μόναι τέχναι παρὰ Ἀθηναίοις ἠσκοῦντο, καὶ οἱ μὲν ἀστοὶ ἐλλόγιμοι ἦσαν, οἱ δὲ δημοτικώτεροι, ναυτικοί. F

340 Μία χελιδὼν ἔαρ οὐ ποιεῖ: Ἐπὶ τῶν σπανίως φαινομένων. Cf. Suid. καὶ μία μέλισσα μέλι οὐ ποιεῖ.

341 Μία ἡμέρα σοφὸν οὐ ποιεῖ.

342 Μικρὸς ὄνος ἀεὶ πῶλος: Ἐπὶ τῶν διὰ βραχύτητα ἡλικίας νέων νομιζομένων. Cf. Suid. G

343 Μόχθος οἱ τηλοῦ φίλοι: Παροιμία· καὶ

Τηλοῦ φίλοι ναίοντες οὐκ εἰσὶ φίλοι.

344 Μῆτε πίσσης γεύεται: Ἐπὶ τῶν νεωστὶ ἀπαλλασσόντων κατὰ τὴν Τηλέφου ἀποδημίαν. Cf. Suid.

345 Μωμήσεται μᾶλλον ἢ μιμήσεται: Ἐπὶ τῶν τὰ καλὰ A
βασκαινόντων.

346 Νάννακος: Ὄνομα κύριον. Οὗτος παλαιὸς ἦν, ὅθεν καὶ
παροιμία· Ναννάκου παλαιότερος.

347 Ναύφρακτον βλέπει: Ἐπὶ τῶν ὀργίλως καὶ πολεμικῶς
προσχόντων. B

348 Νέα χελιδών: Ἐπὶ τῶν ἐξαπατώντων τινάς.

349 Νεμέας ἀθλητρίδος: Ἐπὶ τῆς καλῶς αὐλούσης, καὶ Νε-
μέας σέλινα: τὰ καλά.

350 Νίκα τὸν ὀνηλάτην (Cf. Suid.): Πρὸς τὸν μὴ βουλόμενον
ἀποστῆναι τοῦ κτήνους, ἀλλ' ἑαυτὸν προϊέμενον εἰς ἀπώλειαν. C
Τοὺς οὖν φεύγοντας τὸν σωφρονιστὴν λόγον, διὰ ταύτης λοιδοροῦ-
μεν λέγοντες, "νικᾷ τὸν ὀνηλάτην."

351 Νῦν εἰς χορὸν ἦλθον: Ἐπὶ τῶν ἀρνουμένων.

352 Νῦν οἱ θεοὶ μάκαρες: Ἐπὶ τῶν ἀξίως ὧν ἐπλημμέλησαν
ὑπὸ τοῦ θείου τιμωρουμένων. D

353 Νῦν σωθείην ἴν' ἥδι μοι διδάγματα ταῦτα τοῖ λοιποῖ
χρόνοι: Cf. Suid. Cod. addit, *ὅμοιον τῷ·* "*ῥεχθὲν δέ τε νήπιος ἔγνω.*"

354 Νῦι πείθοι: Παροιμία ὁμοία "τῷ θεῷ πείθου" ἢ "ἔπου."

355 Ξύλον ἀγκύλον οὐδέποτ' ὀρθόν: Ἐπὶ τοῦ μὴ διορθου- E
μένου.

356 Ξύρὸς εἰς ἀκόνην: Ὁμοία τῇ "ἵππος εἰς πεδίον" καὶ
"*δαλὸς εἰς πῦρ.*"

357 Ὁδοῦ παροίσης, τὴν ἄτραπὸν μὴ ζήτει: Ἐπὶ τῶν προ-
δήλων. Cf. Suid. F

358 Ὁ ἐν πάρῳι βωμός: Ἐπὶ τῶν πολυτελῶς κατεσκευασ-
μένων.

359 Οἰναῖοι τὴν Χαράδραν: Ἐπὶ τῶν ἐπ' ὠφελείᾳ κινησάντων
τι, βλαβέντων δέ. Οἴνη γὰρ τόπος τῆς Ἀττικῆς. Ταύτην δὲ
τοὺς γεωργοὺς παρυχετεύσαντας τὴν ἄνωθεν φερομένην χαράδραν G
ἀρδεύειν τὰ δένδρα καὶ τὰς ἀμπέλους, ὕδατος δὲ πολλοῦ γενομένου
καταρραγέντα τὸν ποταμὸν διαφθεῖραι τὰς ἀμπέλους καὶ τὰ δέν-
δρα. Cf. Suid. κοίτης

360 Ὁ κάνης τῆς τύχης ὑπερέχει: Ἐπὶ τῶν τὰ μὴ ἀναγκαῖα

μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων. Κοίτη γὰρ ἡ κίστη A
εἰς ἣν τὰ βρωτὰ ἐμβάλλουσιν, κάνης δὲ, τὸ ἐπίθεμα τῆς κοίτης.
Cf. Suid.

361 Ὁ Λυδὸς τὸν ὄνον ἐλαύνει: Ἐπὶ τοῦ παρ' ἀξίαν τι πράττοντος, παρ' ὅσον ἱππικώτατοι οἱ Λυδοί. Ὁμοία ταύτῃ καὶ ἡ "ἀφ' ἵππων ἐπ' ὄνους." B

362 Ὀλυμπικὴ στοά: Ἐπὶ τοῦ λάλου, ἢ ὅτι εἰκὸς ἔχειν τὴν στοὰν ἀντῳδὸν ἠχώ, ἢ διὰ τὰς τῶν ἐκεῖ συνηγμένων βοάς.

363 Ὄμφακας βλέπει: Ἐπὶ τῶν δριμὺ βλεπόντων καὶ ὀργιζομένων.

364 Ὄνος ἀκροᾶται σάλπιγγος, καὶ ὄνος ἄτρας οὐκ ἐπαΐει, C
οὐδὲ σάλπιγγος ἦχ:

365 Ὄνος ἐν μελίτταις: Ἐπὶ τῶν ὑπὸ συκοφαντῶν ἢ πονηρῶν ἀνδρῶν παραλαμβανομένων.

366 Ὄνος εἰς ἄχτρα: Ἐπὶ τῶν ἀδηφάγων.

367 Ὄνος ἐν μύροις: Ἐπὶ τῶν ἀναξίως ἐν τρυφαῖς διαγόντων. D

368 Ὄνος εἰς Ἀθήνας: Ἐπὶ τῶν ἀπαιδεύτων.

369 Ὄνος τὰ Μελιταῖα: Πρὸς τοὺς κατὰ ζῆλον μηδὲν μὲν ὅμοιον ποιοῦντας, παραπολαύοντας δὲ μᾶλλον κακῶν. Φασὶ γὰρ ὄνον ἰδόντα κυνίδιον προσπαίζον τῷ δεσπότῃ, ἐθελῆσαι μιμήσασθαι, ἐπάραντα δὲ τὰ σκέλη πηδαρίζειν (πυδαρίζειν), συντρίψαι τὰ οἰ- E
κητήρια σκεύη, πληγὰς δὲ διὰ τοῦτο λαβεῖν πολλάς.

370 Ὄνος ἐν πιθήκοις: Ἐπὶ τῶν αἰσχρῶν ἐν αἰσχροῖς.

371 Ὄνοτ παρακύψεως: Ἐπὶ τῶν μάτην ἐγκαλουμένων. Ὀρνίθων γάρ τινων ἐν οἰκίᾳ τρεφομένων πολλῶν, καὶ τῆς μὲν θύρας κεκλεισμένης οὔσης τοῦ οἴκου, μικροῦ δὲ παραθυρίου ἐν αὐτῇ F
ἀνεῳγότος, ὄνος παριὼν μὴ κρατοῦντος τοῦ ὀνηλάτου, καὶ παρακύψας διὰ τῆς θυρίδος, ἀνεσόβησε τὰς ὄρνιθας πτοηθείσας· αἱ δὲ ἀναπτᾶσαι, τὸν ἱστὸν τοῦ τὸ δωμάτιον ἔχοντος διέρρηξαν· ἐντεῦθεν εἰς κριτήριον ἀγόμενος ὁ ὀνηλάτης καὶ ἐρωτώμενος διατί ἄγοιτο, ἔλεγεν, "ὄνου παρακύψεως," καὶ ὁ λόγος εἰς παροιμίαν G
ἐλήφθη. Cf. Suid.

372 Ὄνοτ πόκαι: Ἐπὶ τῶν ἀχρήστων, ἢ εἰς ἀδύνατον ὑπερβαλλομένων. Ἀρίσταρχος γὰρ Κρατῖνον ὑποθέσθαι φησὶ τινὰ ἐν Ἅιδου σχοινίον πλέκοντα, ὄνον δὲ τοῦτο κατεσθίοντα. Ἔστι δὲ

καὶ χωρίον φασὶν Ἕλληνες ἐν ᾅδου καλούμενον ὄνοτ πόκαι. A
Cf. Suid.

373 Ὄνοτ σκιά: Νεανίσκος Ἀθήνηθεν εἰς Δελφοὺς ὄνον ἐμισθώσατο, καὶ μεσημβρίας καταλαβούσης, καὶ τοῦ ἡλίου σφοδρότερον ἐκκαίοντος, τῆς ὁδοιπορίας ἔστησαν, γυμνοῦ δὲ σκιᾶς ὄντος τοῦ τόπου, ὑπέδυ τὴν τοῦ ὄνου σκιὰν ὁ νεανίσκος. Ὁ δὲ ὀνηλάτης B ἐκώλυε, ὄνον οὐχὶ σκιὰν λέγων αὐτὸν μεμισθωκέναι. Λέγεται δὲ ἡ παροιμία ἐπὶ οὐθενείας καὶ ματαίας φιλονεικίας. Cf. Suid.

374 Ὀξηρὸν ἄγγος οἱ μελιττοῖσθαι πρέπει: Ἐπὶ τοῦ ἀναξίου. Σοφοκλῆς Ἰφιγενείᾳ.

375 Ὄξος ἡκρατισμένον: Ἐπὶ τῶν ὀργίλων καὶ δριμυτάτων. C

376 Ὀξύτερον οἱ γείτονες βλέποτσι τῶν Ἀλωπέκων: Ἐπὶ τῶν λανθάνειν μὴ δυναμένων.

377 Ὀξύτερον ατγκέως βλέπει: Ἐπὶ τῶν τὰ πόρρωθεν ἀκριβῶς ὁρώντων.

378 Ὅρκος Ἀφροδίσιος στγγινώσκεται: Παρ' ὅσον οἱ ἐρῶντες εὐ- D χερῶς ὀμνύουσι.

379 Ὁ Σικελικὸς τὴν θάλασσαν: Ἡ ὁ Σικελὸς σῦκα τὴν θάλασσαν. Ἐπὶ τῶν χαριεντιζομένων πρὸς τοὺς ἀδικήσαντας. Σῦκα γὰρ Σικελός τις ἐμπορευόμενος, ναυαγήσας ἐξέπεσε, καὶ καθήμενος ἐπὶ πέτρας, ὡς εἶδε τὴν θάλασσαν γαληνιάζουσαν, οἶδα φησὶν ὃ E θέλεις, σῦκα θέλεις. Cf. Suid.

380 Ὀστράκοτ περιστροφή: Παροιμία ἐπὶ τῶν ταχέως τὶ ποιούντων λεγομένη· εἴρηται δὲ ἀπὸ παιδιᾶς τοιαύτης· διελόντες ἑαυτοὺς οἱ παῖδες ὡς ἰσαρίθμους ἑκατέρους γενέσθαι, οἱ μὲν πρὸς ἀνατολὴν ἵσταντο, οἱ δὲ εἰς δυσμὰς, ἄλλος δέ τις μεταξὺ ἑκα- F τέρων καθήμενος ὄστρακον εἶχεν, ἐκ μὲν τοῦ ἑνὸς μέρους κεχρισμένον λεύκῃ, ἐκ δὲ θατέρου μέλανι. Καὶ ἔρριπτε τοῦτο ὀρθὸν, καὶ εἰ μὲν κατεφέρετο τὸ λευκὸν μέρος ἄνω, οἱ πρὸς ἀνατολὰς ἑστῶτες ἐδίωκον τοὺς πρὸς δυσμάς· εἰ δὲ τὸ μέλαν ἄνω, οἱ ἐκ δυσμῶν ἐδίωκον, ἕως καταλάβοιεν. Καταλαβόντες δὲ ἐβαστάζοντο ὑπ' αὐτῶν, ἕως G οὗ ἐπανέλθωσιν ἐπὶ τὸν τόπον ἀφ' οὗ τὴν ἀρχὴν ἔφυγον. Cf. Suid.

381 Ὅταν τὸ ὕδωρ πνίγηι, τί δεῖ ἐπιπνίγειν: Παρεγγυᾶται μὴ τοὺς δυστυχοῦντας κατεπεμβαίνειν.

382 Οὐδὲν ἀνδρῶν λευκῶν ὄφελος ἢ σκυτοτομεῖν: Ἐπὶ τῶν

εἰς μηδὲν λυσιτελούντων, παρ' ὅσον οἱ μέλανες τῶν λευκῶν λυσιτε- A
λέστεροι.

383 Οὐδὲν πρὸς τὸν Διόντσον: Ἐπὶ τῶν τὰ μὴ προσήκοντα τοῖς ὑποκειμένοις λαλούντων. Τῆς γὰρ ποιήσεως τὸ πρῶτον ἐκ διθυράμβου τὴν καταρχὴν εἰληφυίας, καὶ τὰ πρὸς τὸν Διόνυσον ἀνήκοντα πραγματευομένης, Ἐπιγένης ὁ Σικυώνιος οὐχ οὕτω B
ποιήσας, ἤκουσε τοῦτον τὸν λόγον· οὐδὲν πρὸς τὸν Διόνυσον. Cf. Suid.

384 Οὐδὲ τὰ τρία στησιχόροτ γινώσκεις: Ἐπὶ τῶν ἀπαιδεύτων καὶ ἀμούσων· τρία δ' ἂν εἴη, αἱ δύο ἀντίστροφοι καὶ ἡ ἐπῳδός, δι' ὧν σύγκεινται τὰ λυρικὰ ποιήματα. Cf. Suid. C

385 Οὐδὲν ἀρχαῖον ποιεῖ: Ἐπὶ τῶν εἰς μηδὲν συντελούντων.

386 Οὔτε γῆς οὔτε οὐρανοῦ ἅπτεται: Ἐπὶ τῶν περιττῶν, καὶ μηδὲν πρὸς τὸ πρᾶγμα συντελούντων.

387 Οὐδὲ τῶν τὰ Πυθαγόροτ μυθολογούντων ἤκουσας: Ἐπὶ τῶν πάσης ἀλλοτρίων παιδείας. D

388 Οὐδὲν ὄφελος ἀπορρήτοτ καὶ ἀφανοῦς μούσης: Ἐπὶ τῶν τὴν σιωπὴν ἀσκούντων.

389 Οὐδ' ὅσον ἀηδόνες ὑπνοῖ: Ἐπὶ τῶν ἀγρυπνούντων· δήλη γὰρ οὖσα ἡ ἀηδὼν ἀγρυπνεῖ.

390 Οὐκ ἄξιον τὸ πρᾶγμα τῆς ἀγρυπνίας: Ἐπὶ τῶν μεγάλα E
μοχθούντων ἐπὶ εὐτελεῖ.

391 Οὐκαὶ (sic) χελῶναι διὰ μιᾶς πᾶσαι πλέαι: Ἐπὶ τῶν διά τινος εὐεργετουμένων. Φασὶ γὰρ ὅπόταν μία χελώνη (sic) αἱ λοιπαὶ ἀπὸ τῆς οὐρᾶς αὐτῆς πίνουσι. Τὸ οὖν πλέαι ἀντὶ τοῦ πεπληρωμέναι. F

392 Οὐκ ἀπείρωι προσέβαλες: Ἐπὶ τῶν οἰομένων μὲν ἐξαπατᾶν, φωραθέντων δέ.

393 Οὐκ ἀγαπᾷ γραῦς θανοῦσα, ἀλλὰ καὶ προσεκφέρειν κελεύει: Ἐπὶ τῶν οὐκ ἀρκουμένων οἷς ἔλαβον, ἀλλὰ καὶ πλείω ζητούντων. G

394 Οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ' ὁ πλοῦς: Ἐπὶ τῶν μὴ δυναμένων τοῖς ἄλλοις τὰ αὐτὰ ποιεῖν. Ἐπεὶ μόνων τῶν πλουσίων ἦν καταίρειν εἰς Κόρινθον διὰ τὰς πόρνας.

395 Οὐ φροντὶς Ἱπποκλείδηι: Ἱπποκλείδης λαβὼν εἰς γυναῖκα

τὴν θυγατέρα Κλεισθένους, καὶ ἐν αὐτῷ τῷ γάμῳ ὀρχησαμένης A
τῆς θυγατρὸς Μεγαλκοῦς καὶ ἀρεσάσης αὐτῷ, ἐκείνην ἀφεὶς ταύτῃ
συνεζύγη. Τοῦ δὲ Μεγαλκοῦς λέγοντος, μεμφθήσῃ τῇ πράξει,
αὐτὸς ἀπεκρίνατο· οὐ φροντὶς Ἱπποκλείδῃ. Cf. Suid.

396 Ὀφὲ θεῶν ἀλέοτσι μῆλοι, ἀλέοτσι δὲ λεπτά: Ἐπὶ
τῶν ὀψιαίτατα καὶ βραδέως παρεχόντων δίκην, ὧν ἐπλημμέλησαν. B

397 Ὀφ' ἥλθες, ἀλλ' ἐς τὸν Κολωνὸν ἵεσο: Ἐπὶ τῶν καθυ-
στεριζόντων καὶ βραδέως ἐρχομένων, παρ' ὅσον τῶν μισθωτῶν τοὺς
ὀψὲ ἐλθόντας πάλιν ἀπέλυον ἐπὶ τὸ μισθωτήριον. Τὸ δὲ ἦν ἐπὶ
τῶν κολωνῶν. Cf. Suid.

398 Ὄφις ἀφήλων τὰ φαινόμενα: Παροιμία.

ΠΑΡΟΙΜΙΑΙ ΔΗΜΩΔΕΙΣ

ΕΚ ΤΗΣ

ΔΙΟΓΕΝΙΑΝΟΥ ΣΥΝΑΓΩΓΗΣ.

I. 1 Ἀβάηνον [a]ἐπιφόρημα: Ἐπὶ τῶν ἀηδῶν [b]εἴωθε τάττεσθαι. A
Ἔθος γὰρ τοῖς Ἀβυδηνοῖς μετὰ [c]τὸ δεῖπνον καὶ τὰς σπονδὰς προσάγειν τοὺς παῖδας μετὰ τῶν τιτθῶν τοῖς εὐωχημένοις. Κεκραγότων δὲ τῶν παίδων, καὶ θορύβου γενομένου, ἀηδίαν πολλὴν εἶναι τοῖς δαιτυμόσιν.

2 Ἄβρωνος βίος: Ἄβρων τὶς ἐγένετο πλούσιος καὶ ἀβροδία- B
τος. Ὅθεν ἡ παραβολὴ ἐπὶ τῶν πολυτελῶν τάττεται. Ταῦτα καὶ, Σικελικὴ τράπεζα· καὶ, Στβαριτικὸς βίος.

3 Ἀγορὰ Κερκώπων: Ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κέρκωπες γάρ τινες ἀπατεῶνες ἐγένοντο ἐν Ἐφέσῳ, οἵτινες καὶ τὸν Δία ἐξαπατῆσαι πεπείρανται. Ὁμοία τῇ, Λύκων δεκάς· καὶ, C
[d]Κροβύλου ζεῦγος.

4 Ἀγαθὴ καὶ μάζα μετ' ἄρτον: Ἐπὶ τῶν τὰ [e]δεύτερα τισὶ διδόντων· [f]ὁμοία, [g]Δέχεται καὶ βῶλον ἀλήτης.

5 [h]Ἂν μὴ παρῇ κρέας, ταρίχοι στερκτέον:

6 Ἀγαμέμνονος θυσία: Ἐπὶ τῶν δυσπειθῶν καὶ σκληρῶν· D
Ἀγαμέμνων γὰρ τὴν [i]αὐτοῦ [k]ἐθυσίασε θυγατέρα· ἢ ὅτι βοῦν αὐτοῦ θύοντος, ἔφυγε, καὶ μόλις κρατηθεὶς εἰσήχθη.

7 Ἀγλαώνειος αἴτησις: Ἡ μαλθακὴ, καὶ μήτε χλιαρὰ, μήτε πικρὰ, ἀλλ' ἡδίστη.

[a] ἐπιφόρημα] ἐπιφώνημα c.
[b] εἴωθε] Seqq. om. c.
[c] τὸ δεῖπνον] τὸν δεῖπνον g.
[d] Κροβύλου] κρομύλου g.
[e] ὕστερα] δεύτερα b. c. g.
[f] ὁμοία] ὁμοία τῇ g.
[g] Δέχεται καὶ βῶλον ἀλήτης] Refert historiam Pausanias in Corinthiacis, et in Problematis Plutarchus. SCHOTT. v. ad Zenob. III. 22.
[h] Ἂν μὴ παρῇ] Refertur a Suida, moneri quemque ut sua contentus sorte vivat. De taricho Desiderius Chil. Cent. 4. Chil. II. Adag. 62. SCHOTT.
[i] αὐτοῦ] ἑαυτοῦ g.
[k] ἐθυσίασε] Sic Palat. cod. at

8 Ἀγέλαστος πέτρα: Ἐπὶ τῶν λύπης προξένων ἡ παροιμία· ἐπ' αὐτῆς γὰρ ἐκάθισεν ὅτε τὴν κόρην ἐζήτει ἡ Δημήτηρ. Ὁμοία, [1]Στεγανώτερος Ἀρεοπαγίτου. Καὶ, Ἐκ Τροφωνίου μεμάντευσαι. A

9 Ἀγαθὰ [m] Κιλίκων: Ἐπὶ τῶν ἀπὸ τῶν οὐ προσηκόντων πλουτούντων. Προδότης γάρ τις τῶν Κιλίκων Μίλητον προδοὺς, ηὐπόρησεν. Ὅμοιον, Ἀπὸ νεκρῶν φορολογεῖν. B

10 Ἀγαθῶν θάλασσα: Ἐπὶ πλήθους ἀγαθῶν. Ὡς καὶ τὸ, Ἀγαθῶν σωρὸς, καὶ, Ἀγαθῶν μυρμηκία. Ἐπὶ πλήθους γὰρ εὐδαιμονίας καὶ τοῦτο. Τὰ ἐναντία· Κακῶν Ἰλιὰς, καὶ, Λέρνη κακῶν. C

11 Ἀγνότερος πηδαλίου: Ἐπὶ τῶν ἀγνῶς βεβιωκότων. Παρ' ὅσον ἐν θαλάσσῃ ἐστὶν ἀεὶ τὸ πηδάλιον.

12 [n] Ἀγροίκου μὴ καταφρόνει ῥήτορος: Ὑποθετική. Ὅτι μηδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν. Ὅμοιόν ἐστι, Κἂν μύρμηκι [o] χολή. D

13 [p] Ἀγναμπτότερος βάτου ἄτου: Ἐπὶ τοῦ ξηροῦ καὶ αὐθάδους τὸν τρόπον.

14 [q] Ἀδώνιδος κῆποι: Ἐπὶ τῶν ἀώρων καὶ μὴ [r] ἐρριζωμένων.

Pet. Pantini viri clariss. ἐβούλετο θυσίασθαι. Et seq. proverb. ἡ μαλακὴ καὶ μήτε χαλαρά. SCHOTT.

[1] Ex στεναγώτερος, στεγανώτερος emendavi: de qua voce in Pandectas G. Budæus, qui ex Alciphronis epistola [I. 13.] ut et Erasmus et Io. Alex. Brassicanus proverbium adhibent. De Trophonii vero specu multa idem Eras. ex Aristoph. interprete, et Zenobio. SCHOTT.

[m] Κιλίκων] De Cilicibus et his finitimis Isauris latrocinio infamibus plenæ historiæ; ac de bello Romanorum cum Isauricis piratis a Cn. Pompeio Magno confecto M. Tullius in Manliana, et L. Florus lib. III. cap. 6. referunt. Ut simile illi sit, quod et M. Plautus, idemque initio Philippicæ secundæ Cicero exagitat: *Male partum male disperit.* De altero Aristoteles Rhetor. II. ad Theodectem [c. 6.] Οἷον πενήτων καὶ τεθνεώτων, ὅθεν καὶ ἡ παροιμία, Τὸ καὶ ἀπὸ νεκροῦ φέρειν. Αἰσχροκερδίας γάρ. Et illud affine: *Vectigal e statuis exigere.* SCHOTT.

[n] Ἀγροίκου] Meminit adagii utriusque Zenobius, ubi plura notabamus. Mox 13. in Pantini V. Cl. cod. est σκληροῦ, pro ξηροῦ. SCHOTT.

[o] χολὴ] σχολὴ g.

[p] Ἀγναμπτότερος] Ἀγναπτότερος g. Ἀγναπτότερος c.

[q] Ἀδώνιδος] Usum paræmiæ Suidas et Pausanias ostendunt: Zenobius item, et Plutarchus De sera numinis vindicta. SCHOTT. v. Schol. Platon. p. 68. Simplic. ad Aristot. de Cœlo p. 6 b. Vid. ad Suidam p. 96 E.

[r] ἐρριζωμένων] ἐρριζομένων g.

Ἐπειδὴ γὰρ [s]Ἄδωνις ἐρώμενος ἦν, ὡς ὁ μῦθος, τῆς Ἀφροδίτης, A
προήβης τελευτᾷ, οἱ ταύτῃ ὀργιάζοντες, κήπους εἰς ἀγγεῖά τινα
φυτεύοντες ἢ φυτεύουσαι, ταχέως ἐκείνων διὰ τὸ μὴ ἐρριζῶσθαι
μαραινομένων, Ἀδώνιδος αὐτοὺς ἐκάλουν.

15 Ἀτὰρ σάλπιγγι στγκρίνεις: Ἐπὶ τῶν τὰ ἐλάττω τοῖς
μείζοσι συγκρινόντων. "[t]Τέττιγι μέλιτταν συγκρίνεις," κατὰ B
φωνήν.

16 [u]Ἀδὲς δέος: Ἐπὶ τῶν μάτην δεδιότων.

17 [v]Ἀληλεσμένος βίος καὶ μεμαγμένος: Ἐπὶ τοῦ ἑτοίμου
καὶ προχείρου.

18 [x]Ἄσπαρτα καὶ ἀνήροτα: Ἐπὶ τοῦ ὁμοίου. C

19 [w]Ἄλλην ἀρῖν βαλάνιζε: Ἐπὶ τῶν ἐνδελεχῶς [y]αἰτούντων, ἢ
ἐπὶ τῶν συνεχῶς δανειζομένων. Οἱ γὰρ παλαιοὶ βαλάνοις ἔζων·
πρὸς οὖν τοὺς περισκοποῦντας τὰς δρῦς, εἴτε πλήρεις εἶεν εἴτε
κεναί, Ἄλλην ἀρῖν βαλάνιζε, ἔλεγον.

20 Ἄλλος βίος, ἄλλη δίαιτα: Ἐπὶ τῶν ἐπ' ἀμείνονα βίον D
μεταβαλλομένων.

21 Ἄλλας ἄγων καθέδεις: Ἐπὶ τῶν ἐν κινδύνοις ῥαστωνευο-
μένων. Ἐμπόρου γάρ τινος ἄλας ἄγοντος ἀποκαθευδήσαντος,
συνέβη τὴν ἀντλίαν ἐπαναβῆναι, καὶ τῆξαι τὸν ἅλα.

22 [w]Ἀιδεὶς ὡς εἰς Δῆλον πλέων: Ἐπὶ τοῦ ὁμοίου. E

23 [w]Ἄλλοτε δ' ἀλλοῖον τελέθειν καὶ [z]χώραι ἔπεσθαι: [w]Ὅτι
προσήκει ἐξομοιοῦν ἑαυτὸν ἐν οἷς ἂν γένοιτο τόποις. Εἴρηται δὲ
ἀπὸ τῶν πολυπόδων· οὗτοι γὰρ [a]ᾗ ἂν πλησιάσωσι πέτρᾳ, φόβου
κατεπείγοντος, εἰς τὸ αὐτῆς εἶδος τὸ ἑαυτῶν μεταβάλλουσιν.
[w]Ὅμοιον, Πολύποδος πολυχρόοτ νόον ἴσχε. F

[s] [w]Ἄδωνις] Ἀδώνιδος g.

[t] Τέττιγι] Addendum videtur ὅμοιον, Τέττιγι, vel quid simile. Lucianus in Rhetore [c. 13.] utramque expressit parœmiam: Τοσοῦτον ὑπὲρ φωνοῦντα εὑρήσεις, ὁπόσον ἡ σάλπιγξ τοὺς αὐλοὺς, καὶ οἱ τέττιγες τὰς μελίττας. SCHOTT.

[u] Ἀδὲς] Simile illud Maronis IV. Æneidos ver. 298. *Omnia tuta timens.* SCHOTT. Schol. Platon. p. 48.

[v] Ἀληλεσμένος] Repetit infra, Βίος μεμαγμένος. SCHOTT.

[x] [w]Ἄσπαρτα] Homer. Od. ι'. 109.

[y] αἰτούντων] αἰτούντων τι b.

[z] χώραν] Dedi cum Zen. χώρᾳ.

[a] ᾗ] οὗ b.

24 [b] Ἀζαναῖα κακά: Ἐπὶ τῶν κακοῖς διηνεκῶς προσπαλαιόντων. A
Ἀζάναια γὰρ τόπος σκληρὸς, περὶ [c] ὃν πονοῦντες οἱ γεωργοὶ οὐδὲν
πορίζονται.

25 Ἀνάγτρον κινεῖς: Ἐπὶ τῶν κινούντων τινὰ ἐπὶ τῶν ἑαυτῶν
κακῶν. Ἀνάγυρος γάρ τις ἦρως ἐπιχώριος τοὺς γειτονοῦντας ἐκ
βάθρων ἀνέτρεψεν, ἐπειδὴ τὸ ἡρῷον αὐτοῦ [d] ὑβρίσαι ἐπεχεί- B
ρησαν.

26 [e] Ἀντρώνιος ὄνος: Ἐπὶ τῶν μεγάλων καὶ ἀγρίων καὶ
ἀνενεργήτων. Ἐν Ἄντρωνι γὰρ, ὡς φησὶ Φερεκράτης, μεγάλοι
ὄνοι ἐγένοντο. [f] Ἀχαρνικοὶ ὄνοι: Ἐπὶ τῶν αὐτῶν.

27 [g] Ἄνω ποταμῶν χωροῖσι πηγαί: Ἐπὶ τῶν ἐναντίως γενο- C
μένων ἢ λεγομένων. Οἷον, εἰ πόρνος τὸν σώφρονα λέγει πόρνον.

28 [h] Ἀράβιος αὐλητής: Ἐπὶ τῶν ἀεὶ λαλούντων. Μετῆκται
δὲ ἀπό τινος Ἀραβίου αὐλητοῦ, ὃς ηὔλει μὲν δραχμῆς, ἐπαύετο
δὲ τεττάρων.

29 Ἀρκάδας μιμούμενος: Ἐπὶ τῶν ἄλλως πονούντων. Πολλὰ D
γὰρ οἱ Ἀρκάδες πολεμήσαντες, οὐδεμίαν νίκην ἰδίαν πώποτε
ἔσχον.

30 Ἀρχὴ Σκτρία: Ἐπὶ τῶν [i] εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόν-
των. Πετρώδης γὰρ ἡ Σκῦρος.

31 Αἴθης πέπλος: [k] Ὑπὲρ τῶν ὑπεκκαιόντων καὶ στάσεις E
ἐγειρόντων καὶ διαβολάς. Δηϊάνειρα γὰρ πέπλον πέμψασα Ἡρα-
κλεῖ, τούτῳ διέφθειρεν αὐτόν.

32 Αἵμασι [l] κλαίειν: Καθ' ὑπερβολὴν, οὐ δακρύοις, ἀλλ' αἵματι
κλαίειν.

[b] Ἀζαναῖα] De Azanæa Arcadiæ regione legendus Stephanus Byzantius περὶ πόλεων. SCHOTT.

[c] ὃν] ὃν g.

[d] ὑβρίσαι] Pro ὑβρίσαι in cod. Pantini ὑβρίσται leg. SCHOTT.

[e] Ἀντρώνιος] Vid. Schol. Ven. Il. β'. 697.

[f] Ἀχάρνικοι ὄνοι] Sic Apostolius, Ἵπποι tamen legens: cum antea Ἄχαρνοι esset scriptum, peccante bis librario, vocis, ut fit, affinitate. SCHOTT.

[g] Ἄνω] Euripidis est in Medea, ut ad Zenobium notare memini. SCHOTT.

[h] Ἀράβιος] Ἀρράβιος hîc et infra b. g.

[i] Τελῶν est in Pantiniano, pro quo Palatinus εὐτελῶν. Et mox 31. est ἐπὶ τῶν ὑπεκαιόντων. SCHOTT.

[k] Ὑπὲρ] ἐπὶ b.

[l] κλαίειν] καίειν g.

33 Αἰροῦντες ἡιρήμεθα: Ἐπὶ τῶν ἐλπισάντων [m] τινὰς νικᾶν, A εἶθ' ὑπ' ἐκείνων ἁλόντων.

34 Αἱ χάριτες γυμναί: Ὅτι δεῖ ἀφειδῶς χαρίζεσθαι.

35 Αἱ Ἰβύκου γέρανοι: Ἐπὶ τῶν ἀπροσδοκήτως [n] ἐπὶ τοῖς ἁμαρτήμασι κολασθέντων. Ἴβυκος γὰρ ὑπὸ τῶν λῃστῶν ἀναιρούμενος, καὶ γεράνους ἰδὼν, ἐμαρτύρατο. Χρόνῳ δὲ οἱ λῃσταὶ B θεώμενοι ἐν θεάτρῳ γεράνους ὑπερπταμένους, Αἱ Ἰβύκου γέρανοι, ἔλεγον. Εἶτα ἁλόντες καὶ ἀνακριθέντες, ἐκολάσθησαν.

36 Αὐτοὶ χελώνας ἐξοίετε, οἵπερ εἴλετε: Ἐπὶ τῶν ἐξ ἀβουλίας τι πραττόντων, εἶτα βοηθείας δεομένων. Ἁλιεῖς γὰρ χελώνην ἀνασπάσαντες, ἐμέριζον· τὸν δὲ Ἑρμῆν παριόντα ἐπὶ C τὴν [o] ἑστίασιν ἐκάλουν· ὁ δὲ τοῦτο ἐφθέγξατο.

37 Αἰγιαλοῖ λαλεῖς: Ἐπὶ τῶν [p] ἀνηκοούντων.

38 Αἰθέρα νήνεμον αἱρήσεις: Ἐπὶ τῶν μάτην πονούντων.

39 Ἄϊδος κτνῆ: Ἐπὶ τῶν κρυπτόντων ἑαυτοὺς διά τινος μηχανῆς. Τοιαύτη γὰρ ἡ τοῦ Ἄϊδος κυνῆ, ᾗ Περσεὺς χρησάμενος τὴν D [q] Γοργὼ ἐδειροτόμησεν.

40 Αἴκα οὔπω τέτοκεν, ἔριφος δ' ἐπὶ [r] δώματα παίζει: Ἐπὶ τῶν οὔπω τεχθέντων, ἢ γεγονότων, ἀλλ' ἀτελῶν ὄντων, καὶ τὰ [s] τῶν τελείων θελόντων ποιεῖν.

41 Αἰάντειος γέλως: Ἐπὶ τῶν παραφρόνως γελώντων. E

42 [t] Ἀφύων τιμή: Ἐπὶ τῶν [u] ἐν μικροῖς παρ' ἄλλων τιμωμένων.

43 Ἀνίπτοις κερσίν: Ἐπὶ τῶν βεβήλοις χερσὶ [x] τοῖς ἱεροῖς ἐγχειρούντων.

44 [y] Ἄειδε τὰ Τέλληνος: Ἐπὶ τῶν σκωπτικῶν· Τέλλην γὰρ αὐλητὴς ἐγένετο, ὃς παίγνια κατέλιπε χάριν ἔχοντα. F

45 Αἰθίοπα σμήχεις: Δῆλον τὸ τοιοῦτον. [z] Ὁμοῖα, Χύτραν ποικίλλεις, [a] Ἀσκὸν τίλλεις.

[m] τινας om. g. c.
[n] ἐπὶ om. c.
[o] ἑστίασιν ἐκάλουν] ἑστίαν συνεκάλουν g.
[p] ἀνηκοούντων] ἀνηκούντων g.
[q] Γοργὼ] Γοργὴν g.
[r] δώματα] δώματος c. g. Mox ἢ γεγονότων om. g.
[s] τῶν τελείων] τῶν om. g. c.
[t] Ἀφύων] Pertinet ad Aristoph. Ach. 640.
[u] ἐν μικροῖς παρ' ἄλλων] μηδαμῶς c. ἐν om. g.
[x] τοῖς ἱεροῖς] τὰ ἱερὰ b.
[y] Ἄειδε] ἄδε g.
[z] Ὁμοῖα] ὁμοῖον g.
[a] Pro ὠὸν τίλλεις reposui ἀσκὸν. Et Ad. 46. pro δυσαπονίπτους Suid.

46 Αἰσώπειον αἷμα: Ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσιν ἐνεχο- A
μένων· ἐπειδὴ τοῖς Δελφοῖς ἀδίκως ἀνελοῦσι τὸν Αἴσωπον ὠρ-
γίσθη ὁ θεός.

47 Αἰγιεῖς οὔτε τρίτοι οὔτε τέταρτοι: Ἐπὶ τῶν παντελῶς
εὐτελῶν καὶ μικρῶν. Ἐρωτώντων γάρ, τίνες κρείττους τῶν
Ἑλλήνων; τοῦτο ἀντεφθέγξαντο· Αἰγιεῖς οὔτε τρίτοι οὔτε B
τέταρτοι.

48 Ἄκαιρος ἔννοια οὐδὲν ἔχθρας διαφέρει: Τοῦτό φασιν
Ἱππόλυτον εἰπεῖν πρὸς Φαῖδραν, φάσκουσαν αὐτὸν φιλεῖν παρὰ
πάντας ἀνθρώπους.

49 Ἀκάνθιος τέττιξ: Ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων· οὐκ C
ᾄδουσι γὰρ οἱ ἐκεῖσε τέττιγες. Ὅμοιον· Βάτραχος Σερίφιος,
ἐπὶ τῶν αὐτῶν. Οὐκ ᾄδουσι γὰρ οἱ ἐν Σερίφῳ βάτραχοι.

50 Ἄλα καὶ κύαμον: Ἐπὶ τῶν εἰδέναι μὲν προσποιουμένων, οὐκ
εἰδότων δέ. Ἐπεὶ οἱ μάντεις εἰώθασι τιθέναι τὸν ἅλα καὶ κύα-
μον. Ὅθεν καὶ τοὺς ἀπορρήτων κοινωνοῦντας, τοὺς περὶ ἅλα καὶ D
κύαμον ἔλεγον.

51 Ἀττικοὶ τὰ Ἐλευσίνια: Ἐπὶ τῶν τὰ ἀπόρρητα μυου-
μένων· οἱ γὰρ Ἀττικοὶ ἐν Ἐλευσῖνι ἐπετέλουν τὰ τῆς Δήμητρος
μυστήρια.

52 Αἶξ τὴν μάχαιραν: Ἐπὶ τῶν ἑαυτοῖς λανθανόντως κακόν τι E
ἐπισπωμένων. Εἴληπται δὲ ἐξ αἰτίας τοιαύτης· Κορίνθιοι αἶγα
τῇ Ἥρᾳ ἔθυον· κρυψαμένων δὲ τινῶν τὴν μάχαιραν, ἡ αἶξ τοῖς
ποσὶ σκαλεύουσα, ἀνέφηνεν. Ὅμοιον, Κορώνη τὸν σκορπίον,
Κόνιν φυσᾶις, Εἰ κείμενον κακὸν κινεῖς, Λέοντα ντύ-
σεις, Ἀνάγυρον κινεῖς. F

53 Ἄδακρυ πόλεμος: Ἐπὶ τῶν ῥᾷστα καὶ παρ' ἐλπίδα τὰ
πράγματα κατορθούντων. Χρησμὸς γὰρ ἐδόθη Λακεδαιμονίοις,
ἄδακρυν μάχην νικῆσαι· ὅθεν οὐδὲ εἷς τηνικαῦτα τούτων ἀπέ-
θανεν.

54 Ἀδράστεια Νέμεσις: f Ἐπὶ τῶν πρότερον εὐδοκησάντων· G

præfert δυσαπορρίπτοις. SCHOTT.
ὧν b. g.
b ἐνεχομένων] ἐχομένων g.
c ἀτελῶν] εὐτελῶν b. c. om. g.
d γὰρ] γὰρ τινῶν b.
e φυσᾶς] φυσᾶν g.
f Ἐπὶ τῶν πρότερον εὐδοκησάντων] Rectius mea sententia Apostolius

ἀπὸ Ἀδράστου τοῦ [g]Θήβαις στρατεύσαντος καὶ μεγάλως σφα- A
λέντος. Τὸ αὐτὸ καὶ, ΚΑΔΜΕΙΑ ΝΙΚΗ.

55 Ἀδηφάγον ἄρμα: Ἐπὶ τῶν γαστριμάργων.

56 Ἀετοῦ γῆρας, κορύδοτ νεότης: Παρ' ὅσον καὶ γηράσκων ἀετὸς ἀμείνων ἐστὶ κορύδου νεάζοντος. Ὅμοιον· Ῥόδον ἀνεμώνηι στγκρίνεις, Καρκίνον ἀστῆοδι, Θρίπας ἀετῶι, καὶ, B
Χελώνην πηγάσοι.

57 Ἀκεσσαίοτ σελήνη: Ἐπὶ τῶν εἰς χρόνον ἀναβαλλομένων πρᾶξαί τι. Ἦν δὲ κυβερνήτης, ὃς ῥάθυμος ὢν, ἔλεγε διὰ παντὸς ἀναμένειν σελήνην, ἵνα ἐν φωτὶ ὁ πλοῦς αὐτῷ γένηται.

58 Ἀεὶ γὰρ ἐπ πίπτοτσιν οἱ Διὸς κύβοι: Ἐπὶ τῶν εἰς πάντα C
εὐδαιμονούντων· ἢ ἐπὶ τῶν ἀξίως τιμωμένων.

59 Αἰτναῖος κάνθαρος: Ἐπὶ τῶν τῷ σώματι μεγάλων.

60 Ἀκλητὶ κωμάζοτσιν εἰς φίλοτς φίλοι: Δήλη ἡ παροιμία. Καὶ ὁμοία τῇ, Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴενται. D

61 Ἀεὶ κολοιὸς [h]πρὸς κολοιὸν ἰζάνει: Ἐπὶ τῶν τοῖς ὁμοίοις προσομιλούντων. Συνδυαστικὰ γὰρ καὶ συναγελαστικὰ τὰ ζῶα.

62 Ἅλις ἀρτός: Ἐπὶ τῶν εἴς τινα βελτίονα δίαιταν μεταβαλ-
λομένων. Τῶν γὰρ βαλάνων οἱ παλαιοὶ παυσάμενοι, μετεῖχον E
σίτου καὶ οἴνου.

63 Ἄλλος οὗτος [i]Ἡρακλῆς: Ἐπὶ τῶν ἰσχυρῶν καὶ [k]κραταιῶν ἡ παροιμία.

64 Ἀμαλθείας κέρας: Ἐπὶ τῶν πάντα τὰ καλὰ ἐν ἑαυτοῖς κεκτημένων. Ῥέα γὰρ τεκοῦσα τὸν Δία, ἔδωκεν Ἀμαλθείᾳ τρέ- F
φειν, διὰ τὸ μὴ ὑπὸ Κρόνου καταβρωθῆναι τοῦ ἰδίου πατρός. Ἡ δὲ αἰγὶ αὐτὸν ὑπέβαλεν. Ὁ τοίνυν Ζεὺς μετὰ τὸ κατάξαι τῶν

P. Pantini integer, εὐδαιμονησάντων: addendumque ex eodem: ὕστερον δὲ δυστυχησάντων, itaque Suidas. SCHOTT. προδοκησάντων μὲν προβήσεσθαι τὸ πρᾶγμα καλῶς, ἀποσφαλέντων δὲ c.

[g] Θήβαις στρατεύσαντος] Θηβαίου στρατεύματος g.

[h] πρὸς] παρὰ c.

[i] Ἡρακλῆς] Vid. Plutarch. T. I. p. 14 A. Eustath. Il. ε'. p. 589, 41.

[k] κραταιῶν] Alter liber κραταιῶν. Et seq. adagio ibidem est, ἔδωκεν Ἀμαλθίαν. SCHOTT. κραταιῶν g. καρτερῶν c.

οὐρανῶν τὸν πατέρα, ἐγκρατὴς γενόμενος τῆς βασιλείας, τὴν μὲν αἶγα κατηστέρισε· τὸ δὲ ἕτερον τῶν κεράτων αὐτῆς ἀφελὼν παρέσχε τῇ Ἀμαλθείᾳ, παρασκενάσας γίνεσθαι αὐτῇ διὰ τοῦ κέρατος ὃ ἂν αἰτήσοι. A

65 Ἀετὸν ἵπταθαι διδάσκεις: Φανερὰ ἡ παροιμία. Ὅμοιον, Δελφῖνα νήχεσθαι διδάσκεις. Καὶ, Ἵππον εἰς πεδίον. [l]Ταχύτερος γάρ ἐστιν ἐν προσομάλῳ τόπῳ. B

66 Ἀττικὸς εἰς λιμένα: Ἐπὶ τῶν μετὰ σπουδῆς ὃ ἐπίστανται ποιούντων. Οἱ γὰρ Ἀττικοὶ μέλλοντες [m]ἀπαίρειν [n]εἰς μάχην, καὶ τοῦ λιμένος ἐξιόντες, μετὰ σφοδρότητος ἤλαυνον πρὸς ἐπίδειξιν τῶν οἰκείων ὁρώντων. C

67 Ἀετὸς ἐν νεφέλαις: Ἐπὶ τῶν δυσαλώτων· οὐ γὰρ ἁλίσκεται ἀετὸς ἐν νεφέλαις.

68 Ἀεὶ φέρει τι Λιβύη κακόν: Ἐπὶ τῶν προσεξευρισκόντων ἀεὶ νεώτερόν τι κακὸν, καὶ κακούργων.

69 [o]Ἀμνία θερίζειν: Ἐπὶ τῶν χρόνῳ ὕστερον τιμωρουμένων. D Ὅταν γὰρ ἀμνία ᾖ, οὐκ ἀποκείρεται.

70 Ἀεί με τοιοῦτοι πόλεμοι διῴκοιεν: Ἐπὶ τῶν καταφρονούντων τινῶν. Ὅμοια,

Ἐγὼ πολλῶν [p]θηρίων φόφοτε ἀκήκοα·
Πολλαῖς παγγαῖς ἄρτι [q]δαμάζεται· E
Πολλά κεν εἰδείης, οἷς τὸν θεὸν ἐξαπατήσεις.

[l] Ταχύτερος] Ταχύτερον g.

[m] ἀπαίρειν εἰς μάχην] Alter cod. ἄπεραν πρὸς μάχην. SCHOTT.

[n] εἰς] πρὸς b.

[h] Ἀρχὴ Σκυρία] Pluribus proverbii occasionem usumque commemorant, Suidas, eumque secutus Apostolius. Nisi quod λυπηρὰ tribus syllabis, pro λυπρὰ, *aspera* pro *sterili* habet. Julius Pollux lib. VIII. [81.] Σκυρίαν δίκην de *judicio severo ac rigido* interpretatur, meminitque ejus Suidas et Hesychius. SCHOTT.

[i] λυσιτελὲς] λυσιτελῶς P.

[j] Αἴθης] Sic Diogenianus legit. Apostolius αἴθεις ἐν πέπλῳ. Hen. Stephano cum Erasmo non convenit, qui *ardens vestis* reddiderat, ut et Gilb. Cognatus, cum αἴθης verbum sit, non autem participium aut nomen. Verti itaque *ardeas o tunica*. Mox pro ἦκε, omnino legendum est ἦγε. SCHOTT. Male Schottum vertisse docet Valesius ad Hesych.

[k] Εἴρηται] εἴρηται P.

[l] Ἡρακλέους γὰρ] Sumpta sunt seqq. ex Apollodoro II. 5, 4. 7, 6.

[m] εἷς αὐτῶν] εἷς ἐξ αὐτῶν P. qui mox καθεζόμενος pro καθιζόμενος.

[n] ἦκε] ἦγε Schottus. Apollodorus, ἄγων δὲ Δηϊάνειραν ἐπὶ ποταμὸν Εὔηνον ἦκεν.

[o] ἐκέλευσε] ἐκέλευε P.

ἔπεμψε πρὸς Δηϊάνειραν [P]λαμπρὰν ἐσθῆτα ζητῶν. Μαθοῦσα δὲ A Δηϊάνειρα τὰ περὶ τὴν Ἰόλην, καὶ δείσασα μὴ ἐκείνην μᾶλλον ἀγαπήσῃ, νομίσασα ταῖς ἀληθείαις φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσου, [PP]τούτῳ τὸν χιτῶνα ἔχρισεν. Ἐνδυσάμενος οὖν Ἡρακλῆς, ἔθυεν. Ὡς δὲ θερμανθέντος τοῦ χιτῶνος ὁ τῆς ὕδρας ἰὸς τοῦ χρωτὸς καθήπτετο, τὸν χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ B σώματι, συναπεσπῶντο δὲ καὶ αἱ σάρκες αὐτοῦ. Τοιαύτῃ συμφορᾷ κατασχεθεὶς Ἡρακλῆς, εἰς Τραχῖνα πρὸς Δηϊάνειραν κομίζεται. Αὕτη μὲν οὖν αἰσθομένη τὸ γεγονὸς, ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς ἦν ἐκ Δηϊανείρας αὐτῷ παῖς πρεσβύτερος, Ἰόλην γῆμαι, παρεγένετο εἰς Οἴτην ὄρος, ἔνθα πυ- C ρὰν ἀνῆψεν, ἧς ἐπιβὰς, ὑφάπτειν ἐκέλευσε. Μηδενὸς δὲ τῶν σὺν ἐκείνῳ τοῦτο πράττειν ἐθέλοντος, [q]Ποίας παριὼν κατὰ ζήτησιν ποιμνίων, τὴν πυρὰν ὑφῆψεν· καὶ τούτῳ τὰ τόξα Ἡρακλῆς ἐδωρήσατο. Καιομένης δὲ τῆς [r]πυρᾶς, λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι. D

34 [s]Αἵματι κλαίειν: Κατὰ ὑπερβολὴν, οὐ δάκρυσιν ἀλλ' αἵμασι κλαίειν.

35 Αἰροῦντες ἡιρήμεθα: Ἐπὶ τῶν ἐλπισάντων κρατεῖν τινῶν [t]καὶ ὑπ' ἐκείνων ἁλόντων.

36 Αἱ [u]Χάριτες γυμναί: [v]Ἤτοι, ὅτι δεῖ [v]ἀφειδῶς καὶ φανερῶς E χαρίζεσθαι· ἢ, ὅτι οἱ ἀχάριστοι τὸν ἑαυτῶν κόσμον ἀφῄρηνται.

P λαμπρὰν ἐσθῆτα] Licham nominari video, qui Herculi a Deianira missam vestem tulerit, quem furens Herc. in mare projecit. Unde *rupes Licha* dicta. Meminit Festus Pompeius. Fabulam vero narrat copiose Naso, lib. IX. Metamorph. et in Hercule furente Seneca Tragicus, et Martinus Delrius noster, doctus interpres. SCHOTT.

PP τούτου] τούτῳ Apoll. qui mox ποιήσας rectius pro ἀνῆψεν.

q Ποίας] Philoctetæ hic pater fuit. Sagittas autem reliquisse Philoctetæ comiti Herculem Tragici memorant: qua in re a Petro Victorio lib. II. Variar. Lect. cap. 14. Benedictus Ægius Spoletinus, doctissimus Apollodori Bibliothecæ interpres, valde discedit, et Ioan. Brodæus lib. I. Miscellan. cap. 15. SCHOTT.

r πυρᾶς] τῆς πυρᾶς P.

s Αἵματα] Atticismus est, qualis Latinorum *sanguinem pluit*. Apostolius αἵματι κλαίειν. Diogen. vero multitudinis numero αἵμασι. Simile etiam adfert ille, αἵματι στένειν. SCHOTT. Dedi Αἵματι cum B.

t ὑπ' ἐκείνων] καὶ ὑπ' ἐ. P.

u Χάριτες γυμναί] Gratiæ cur nudæ pingerentur ac fingerentur,

37 [w]Αἱ Ἰβύκου γέρανοι: Ἐπὶ τῶν ἀπροσδοκήτως ἀφ' ὧν ἥμαρ- A
τον κολασθέντων. Ἴβυκος γὰρ ὑπὸ λῃστῶν ἀναιρούμενος, καὶ γεράνους [x]ὑπεριπταμένας ἰδὼν, ἐμαρτύρατο. Χρόνου δὲ προϊόντος οἱ λῃσταὶ ἐν θεάτρῳ θεώμενοι γεράνους ἱπταμένας, πρὸς ἀλλήλους ἔλεγον, Αἱ Ἰβύκου γέρανοι. Εἶτα ἐκ τούτου ἁλόντες ἐκολάσθησαν. B

38 [y]Αἰγιαλῶι λαλεῖς: Ἐπὶ τῶν ἀνηκούστων. Ὁμοία δὲ [z]αὕτη καὶ τῇ, Ἀνέμωι διαλέγηι.

39 [a]Αἰθέρα νήνεμον ἐρέσσειν: Ἐπὶ τῶν μάτην πονούντων.

40 [b]Ἀφ' Ἑστίας ἀρχόμενοι: Μετενήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ δρωμένων. Ἔθος γὰρ ἦν τῇ Ἑστίᾳ τὰς ἀπαρχὰς ποι- C
εῖσθαι.

cur invicem implexæ, disputat lib. de Beneficiis primo L. Seneca cap. 2. et Horatii interpretes ad illud: *Gratia cum nymphis geminisque sororibus audet Ducere nuda choros.* SCHOTT.

[v] ἀφειδῶς] ἀφελῶς Suidas. Schol. Aristidis T. III. p. 55. ed. Dind. οἱ γραφεῖς τὰς Χάριτας γυμνὰς γράφουσιν αἰνιττόμενοι ὅτι δεῖ τὴν χάριν ἄδολον εἶναι· τὸ γὰρ γυμνὸν καὶ φανερὸν ἄδολον.

[w] Αἱ Ἰβύκου] Historiam hanc divinæ argumentum providentiæ etiam Christiani usurpant, Nemesius, aliique. Plutarchus quoque lib. περὶ ἀδολεσχίας [p. 509 F.] ubi a latronibus dictum legas, αἱ Ἰβύκου ἔκδικοι. Ausonius in Monosyllabis: *Ibycus ut periit, vindex fuit altivolans grus.* Itaque Statium emendat Epicedio in patrem Guil. Canterus lib. I. Novarum Lectionem c. 12. *volucrumque precator Ibycus.* Ubi male vulgo *oblitus* legitur. SCHOTT.

[x] ὑπεριπταμένας] ὑπεριπταμένους P.

[y] Αἰγιαλῷ] Affine est, *In vino scribere,* Platoni in Phædro, Tibullo, et Catullo: *In vento, et rapida scribere oportet aqua.* Quod de amantibus usurpatum discas ex Helladii Chrestomathia, in Photii nostri Bibliotheca, ex Sophocle, pag. 865. Ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω. SCHOTT.

[z] καὶ τῇ] αὕτη καὶ τῇ P.

[a] Αἰθέρα νήνεμον ἐρέσσειν] Erasmus, omisso Zenobio, Hermolai Barbari ex epistola ad Ang. Politianum locum adhibet: Καὶ τοῦ πνεύματος ἁμαρτὼν, φασὶν, ἐπὶ τὰς κώπας χώρει. Vaticanus autem codex ἐρέσσεις scriptum habuit. SCHOTT. Αἰθεράνεμον αἱρήσεις P.

[b] Ἀφ' Ἑστίας] Reddi etiam posset, *A Lare incipiens.* Est autem Aristophanis ἐν σφηξὶ [842.] quo et Plato in Euthyphrone utitur [p. 3 A.], Aristides in Pericle [v. Schol. T. III. p. 510.], et sæpe Plutarch. explanatque Eustathius in Homerum [Od. η'. p. 1579, 45.]. De Vesta vero eruditum exstat Σύνταγμα Justi Lipsii nostri. Similiter quoque παροιμιακῶς dixit Philo: Ἀφ' ἱερᾶς ἀρχόμενοι: *Ab anchora incipiens.* SCHOTT. Plutarchi loca collegit Wyttenbachius ad p. 93 D., qui omnino consulendus, necnon Heindorf. ad Platonis Crat. p. 62.

41 [c]Ἅϊδος κυνῆ: Πρὸς τοὺς ἐπικρύπτοντας ἑαυτοὺς διὰ τινῶν A
μηχανημάτων. Τοιαύτη γὰρ ἡ τοῦ Ἅιδου κυνῆ, ᾗ Περσεὺς χρησάμενος τὴν Γοργόνα ἐδειροτόμησεν.

Ἡ δὲ ἱστορία ἔχει οὕτως. [d]Ἀκρισίῳ περὶ παίδων γενέσεως ἀρρένων χρηστηριαζομένῳ, ὁ θεὸς ἔφη γενέσθαι παῖδα ἐκ τῆς θυγατρὸς, ὃς αὐτὸν ἀποκτείνῃ. Δείσας δὲ ὁ Ἀκρίσιος, ὑπὸ γῆν B
θάλαμον χάλκεον κατασκευάσας, Δαναὴν τὴν αὑτοῦ θυγατέρα ἐφρούρει. Ταύτης ὁ Ζεὺς ἐρασθεὶς, καὶ εἰς χρυσὸν μεταμορφωθεὶς, διὰ τῆς ὀροφῆς εἰς τοὺς αὐτῆς κόλπους ἐρρύη. Αἰσθόμενος δὲ ὁ Ἀκρίσιος ἐξ αὐτῆς γεγεννημένον Περσέα, μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν ἔρριψεν αὐτὴν εἰς [e]θάλασσαν. Προσενεχθεί- C
σης δὲ τῆς λάρνακος ἐν Σερίφῳ νήσῳ, Δίκτυς ἄρας ἀνέτρεφε Περσέα. Βασιλεύων δὲ τῆς Σερίφου Πολυδέκτης ἀδελφὸς Δίκτυος, Δαναῆς ἐρασθεὶς, καὶ ἠνδρωμένου Περσέως μὴ δυνάμενος τελέσαι τὸν ἔρωτα, συνεκάλει τοὺς φίλους, μεθ' ὧν καὶ Περσέα,

[c] Ἅϊδος κυνῆ] Orci galea. Ita reddidi, et statim *Plutonis galeam*, repugnante licet Hygino Astronomico Poëtico lib. II. his verbis: *A Mercurio talaria et petasum accepit, præterea galeam, qua indutus ex adverso non poterat videri. Itaque Græci ἄϊδος galeam dixerunt esse, non ut quidam inscientissime interpretantur, eum Orci galea usum: quæ res nemini docto potest probari.* Natum ex Homero adagium Iliad. ε'. versu 845. αὐτὰρ Ἀθήνη Διῒ ἄϊδος κυνέην, μή μιν ἴδοι ὄβριμος Ἄρης. Ubi Scholiastes *Orci galeam* interpretatur νέφος τι καὶ ἀφανισίαν. Legendus et Apollonii Rhodii interpres, vel ἀπὸ κοινοῦ Scholiastes libro IV. Ἀργοναυτ. extremo. Hesych. sic interpretatur: Ἅϊδος κυνέη ἀθάνατόν τι νέφος, ὃ περιβάλλονται οἱ θεοὶ, ὅταν θέλωσιν ἀλλήλοις μὴ γιγνώσκεσθαι, &c. Meminit Euseb. lib. III. Præp. Evang. [p. 109 D.] *Plutonis raptoris galea caput tegitur, quod occulti verticis symbolum est.* Adagium vero adhibet Greg. Nazianzenus priore στηλιτευτικῷ in Julianum [p. 93 A.] (post Platonem lib. X. de Republ. [p. 612 B.]) Οὐδὲ εἰ τὴν Ἅϊδος κυνέην, ἣ δὴ λέγεται, περιθέμενος, ἢ τῷ δακτυλίῳ Γύγου καὶ τῇ στροφῇ τῆς σφενδόνης χρησάμενος, ἑαυτὸν ἀποκλέψειε: et ibi Nonnus Græcus Scholiastes num. LII. Origines lib. I. [c. 66.] contra Celsum, declarans magis convenisse ut in Ægyptum Christus Herodis conspectum fugeret, Ἡ τὴν λεγομένην παρὰ τοῖς ποιηταῖς Ἅϊδος κυνέην, ᾗ τι παραπλήσιον ποιεῖν εἶναι περὶ τὸν Ἰησοῦν. Legat etiam, cui vacat, quæ philosophatur de Cimbris super hac re Ioannes Goropius Becanus lib. IV. Hermathenæ, et Gyraldum Deorum Syntagmate VI. SCHOTT.

[d] Ἀκρισίῳ περὶ παίδων] Ex Apollodoro II. 4.

[e] θάλασσαν] τὴν θάλασσαν P.

λέγων, ἔρανον συνάγειν ἐπὶ τοὺς Ἱπποδαμείας τῆς Οἰνομάου γά- A
μους. Τοῦ δὲ Περσέως εἰπόντος καὶ ἐπὶ τῇ κεφαλῇ τῆς Γορ-
γόνος οὐκ [f]ἀντερεῖν, παρὰ μὲν τῶν ἄλλων ᾔτησεν ἵππους, [g]παρὰ
δὲ τοῦ Περσέως οὐ λαβὼν τοὺς ἵππους, ἐπέταξε τῆς Γοργόνος τὴν
κεφαλὴν κομίζειν. Ὁ δὲ Ἑρμοῦ καὶ Ἀθηνᾶς προκαθηγουμένων
ἐπὶ τὰς Φόρκου [h]παραγίνεται θυγατέρας, [i]Ἐννὼ, [k]Μεμφήδην, B
καὶ Δεινώ. [l]Ἦσαν δὲ αὗται γραῖαι ἐκ γενετῆς, ἕνα τε ὀφθαλμὸν
αἱ τρεῖς καὶ ἕνα ὀδόντα εἶχον, καὶ ταῦτα παρὰ μέρος ἀλλήλαις
ἤμειβον. [m]Ὧν κυριεύσας ὁ Περσεὺς, ὡς ἀπῄτουν, ἔφη δώσειν ἂν
ὑφηγήσωνται τὴν ὁδὸν τὴν ἐπὶ τὰς Νύμφας φέρουσαν. Αὗται δὲ
αἱ Νύμφαι πτηνὰ εἶχον πέδιλα, [l]καὶ τὴν κίβισιν, ἣν φασὶν εἶναι C
πήραν· εἶχον δὲ καὶ τὴν Ἄϊδος κυνῆν, ἣν ὁ ἔχων οὓς μὲν ἤθελε
ἔβλεπεν, ὑπ' ἄλλων δὲ οὐχ ὁρᾶτο. Ἀπελθὼν οὖν ὁ Περσεὺς, καὶ
ἀναλαβόμενος ταῦτα, πτηνὸς διὰ τῶν πεδίλων πρὸς τὰς Γοργόνας
ἐφέρετο. [l]Ἦσαν δὲ αἱ Γοργόνες ἀδελφαὶ τρεῖς, [m]Εὐρυάλη,
[n]Σθενὼ, Μέδουσα· κεφαλὰς μὲν ἔχουσαι περιεσπειραμένας φο- D
λίσι δρακόντων, ὀδόντας δὲ μεγάλους ὡς συῶν, καὶ [o]χεῖρας καὶ
πτέρυγας δι' ὧν ἐφέροντο· τοὺς δὲ ἰδόντας, λίθους ἐποίουν. Μόνη
δὲ τῶν τριῶν θνητὴ ἦν ἡ Μέδουσα. Πρὸς ταύτην ὁ Περσεὺς
ἀπεστραμμένος, καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα
τῆς Γοργόνος ἔβλεπε, τὴν χεῖρα ἔτεινεν, Ἀθηνᾶς αὐτὴν κατευ- E
θυνούσης. Καὶ καρατομηθείσης τῆς Μεδούσης, αἱ ταύτης ἀδελφαὶ
ἀνεπτᾶσαι τὸν Περσέα ἐδίωκον. Συνιδεῖν δὲ αὐτὸν μὴ δυνάμεναι

[f] ἀνταίρειν] ἀντερεῖν Apollodorus.

[g] παρὰ δὲ τοῦ Περσέως, &c.] Hæc periodus abest in editione Aldina. SCHOTT. Habet F. in corrig.

[h] παραγίνεται] γίνεται P. cum Apollod.

[i] Ἐννὼ] Has tres Phorci filias aliter in Theogonia nominat Hesiodus. Lege Ovidium lib. IV. Metamorph. SCHOTT. ἐννὼ F.

[k] Μεμφήδην] Πεμφρηδὼ Apollod.

[l] καὶ τὴν κίβισιν] Male qui per η κίβησιν scribunt in Hesiodi Theogonia [Scut. 224.], contra metri legem. Est autem κίβισις Cypriis πήρα auctore Hesychio. Meminit et Etymologista. SCHOTT.

[m] Εὐρυάλη, Στενὼ] De his sororibus idem Hesiodus in Theogonia et in Herculis scuto, si modo ejus est: Palæphatus, et Lycophronis interpres. Item Orpheus in Hymnis, qui non a Perseo, sed ab ipsa Pallade truncatam refert Medusam. SCHOTT.

[n] Στενὼ] Σθενὼ P. F. cum Apollod.

[o] χεῖρας] Apollodorus, χεῖρας χαλκᾶς καὶ πτέρυγας χρυσᾶς.

διὰ τὴν κυνῆν, ὑπέστρεψαν. Περσεὺς δὲ παραγενόμενος εἰς Σέ- A
ριφον, καὶ καταλαβὼν Πολυδέκτην συγκαλέσαντα τοὺς φίλους
αὐτοῦ πρὸς τὰ [p]βασίλεια, [q]ἀπεστραμμένος τὴν κεφαλὴν τῆς Γορ-
γόνος ἔδειξε. Τῶν δὲ ἰδόντων ἕκαστος ἀπελιθώθη. Καὶ κατα-
στήσας τῆς [r]Σερίφου βασιλέα Δίκτυν, τὴν κεφαλὴν τῆς [s]Γορ-
γόνος Ἀθηνᾷ δίδωσι, τὴν δὲ κυνῆν Ἑρμῇ, ὡσαύτως [t]δὲ καὶ τὰ B
πέδιλα καὶ τὴν κίβισιν, ὁ δὲ πάλιν ἀπέδωκε ταῖς Νύμφαις.
Ἀναλαβόμενος οὖν Περσεὺς τὴν μητέρα, πρὸς Ἄργος ἔσπευδεν,
ἵνα τὸν Ἀκρίσιον θεάσηται. Ὁ δὲ τοῦτο μαθὼν, καὶ δεδοικὼς τὸν
χρησμὸν, ἀπολιπὼν Ἄργος εἰς Λάρισσαν παραγίνεται. Τοῦ δὲ
τῶν Λαρισσαίων βασιλέως γυμνικὸν ἀγῶνα διατιθέντος ἐπὶ κατοι- C
χομένῳ τῷ πατρὶ, παρεγένετο καὶ ὁ Περσεὺς ἀγωνίσασθαι θέλων.
Ἀγωνιζόμενος δὲ πένταθλον, τὸν [u]δίσκον ἐπὶ τὸν Ἀκρισίου πόδα
βαλὼν ἀπέκτεινεν αὐτόν. Καὶ οὕτω πέρας εἴληφεν ὁ χρησμός.

42 Αἶξ οὔπω τέτοκεν, [x]ἔριφος [y]δ' ἐπὶ δώματα παίζει:
Ἐπὶ τῶν οὔπω τεχθέντων καὶ ὁμοίων λεγομένων. D

43 Αἰάντειος γέλως: Ἐπὶ τῶν παραφρόνως γελώντων. Ὁ
Αἴας γὰρ παραφροσύνην νοσήσας καὶ μανεὶς, διὰ τὸ προτιμη-
θῆναι τὸν Ὀδυσσέα εἰς τὴν τῶν Ἀχιλλείων ὅπλων κατοχὴν, κατὰ
τῶν Ἑλλήνων ξιφήρης ὥρμησε· καὶ κατὰ τῶν βοσκημάτων προ-
νοίᾳ θεῶν τραπεὶς, ὡς Ἀχαιοὺς ταῦτα φονεύει. Δύο δὲ [z]μεγί- E
στους κριοὺς κατασχὼν, ὡς Ἀγαμέμνονα καὶ Μενέλαον δεσμεύσας
ἐμάστιξε, καὶ κατεγέλα τούτων μαινόμενος. Ὕστερον δὲ σωφρο-
νήσας, ἑαυτὸν κτείνει.

p *βασίλεια*] τὰ *βασίλεια* P.

q *ἀπεστραμμένους*] *ἀπεστραμμένος* P. F. Apoll.

r *ἐπὶ Σερίφου*] *τῆς Σερίφου* P. Apoll.

s Γοργόνος] Γοργώνης P.

t δὲ καὶ] δὲ om. P.

u *δίσκον*] *τὸν δίσκον* P. Apollod.

x *ἔριφος ἐπὶ δώματος παίζει*] Emendavi Græcum versum numeris, et Suidæ *ἔριφος δ' ἐπὶ δώματα παίζει*. SCHOTT.

y δ' *ἐπὶ*] δ' om. P. edd. vett. Mox *δώματος* edd. vett. cum MSS. Diogeniani I. 40. Sic ut edidit Schottus exhibet Erasmus II. 6, 10.

z *Μεγίστους κριοὺς*] Non *sues*, ut Erasmus reddidit, sed *μεγίστους κριοὺς*, ut Sophocles diserte in Ajace *μαστιγοφόρῳ* [237.] cujus Scholiastes non Agamemnonem et Menelaum, sed Ulyssem, Nestorem, aut Menelaum cædi a se Ajacem putasse refert. SCHOTT. His similia dedit H. Steph. ad Erasmi I. 7, 46.

44 [a]Ἄχρι κόρου: Παροιμία ἦν, ὅτι ἄχρι κόρου ἐκεῖνος [b]ἀναί- A
σθητός ἐστιν· καὶ οὗτος ἄχρι κόρου ἐφενάκισεν.

45 [c]Ἄειδε τὰ Τέλληνος: [d]Ἐπὶ τῶν σκωπτικῶν τίθεται ἡ πα-
ροιμία. [d]Τέλλην γὰρ αὐλητὴς ἐγένετο καὶ μελῶν ποιητὴς, παί-
γνιά τε κατέλιπεν εὐρυθμότατα, καὶ χάριν ἔχοντα πλείστην καὶ
σκώμματα κομψότατα. B

46 [e]Αἰθίοπα σμήχων: Ἐπὶ τῶν μάτην ἀνήνυτον ἔργον ἐπιτε-
λούντων.

47 Αἰσώπειον αἷμα: Ἐπὶ τῶν δυσαπονίπτοις ἐνείδεσι καὶ κα-
κοῖς συνεχομένων· [f]ἐπειδὴ τοῖς [g]Δελφοῖς ἀδίκως τὸν Αἴσωπον
ἀνελοῦσιν ὠργίσθη τὸ δαιμόνιον. Καὶ διὰ τοῦτο τὴν Πυθίαν C
φασὶν ἀνηρηκέναι αὐτοῖς, ἱλάσκεσθαι τὸ ἐπὶ Αἰσώπῳ μύσος.
Οὕτω γὰρ θεοφιλὴς ἐγένετο ὁ Αἴσωπος, ὡς μυθεύεται αὐτὸν ἀνα-
βιῶναι, ὡς [h]Τυνδάρεων, καὶ Ἡρακλῆν, καὶ Γλαῦκον.

[a] Ἄχρι κόρου] Suidas totidem verbis: sed nescio cur *ingurgitavit* ἐφενάκισεν hîc Cognatus reddidit, quod est *ludificari* atque *decipere*. Affine huic illud apud Julium Pollucem libro V. cap. 38. πέρα κόρου προελήλυθα, et ἄχρι χείλους. Ubi in textu γὰρ οὗτος, videtur scribendum ἢ οὗτος. SCHOTT.

[b] ἀναισθητός· ἔστιν γὰρ οὗτος ἄχρι κόρου] ἀναίσθητός ἐστι· καὶ οὗτος ἀ. κ. P. F. et sic voluisse videtur ed. Hag. sed compendio alieno usus est typographus.

[c] Ἄειδε τὰ Τέλληνος] Repetit Zenobius infra II. 15. Cujus etiam Diarchus Messenius meminerit. Meminit et in Apophthegmatis Epaminondæ Plutarch. [p. 193 F.] his verbis: Ἦν δὲ αὐλητὴς ὁ μὲν Τέλλις κάκιστος, ὁ δὲ Ἀντιγενίδας κάλλιστος. SCHOTT.

[d] Τέλλην] Vid. Ruhnkenii Ep. Crit. p. 118.

[e] Lucianus contra indoctum libris nimis tumentem sic adhibet [c. 28.] καὶ κατὰ τὴν παροιμίαν, Αἰθίοπα σμήχειν ἐπιχειρῶ. Et notus Æsopi Apologus. Nec dissimile proverbium Apostolii Αἰθίοψ οὐ λευκαίνεται. Diogenianus similia adfert, Χύτραν ποικίλλεις, καὶ οὐ τίλλεις. SCHOTT.

[f] Ἐπειδὴ τοῖς Δελφοῖς] Vocem Δελφοῖς fugitivam retraximus, et δυσαπορρύπτοις e Suida restituimus pro δυσαπονίπτοις: quod Gilbertus reddidit, *quæ facile elui non possunt*. De Æsopi excessu Plutarch. opusculo De sera numinis vindicta, [p. 557 A.] ubi et proverbium interpretatur, quoties sero sontes a numine corripiuntur. Plura Max. Planudes, et Joachim. Camerarius in Æsopi vita. SCHOTT.

[g] Δελφοῖς om. P. cum edd. vett.

[h] Τυνδάρεων] Pollucem accipio Tyndari filium creditum, et immortalem, qui et Castorem fratrem immortalem reddidisse fingitur. Virg. VI. Æn. ver. 121. *Si fratrem Pollux alterna morte redemit, Itque reditque viam toties.* Ubi et de Eurydice ab Orpheo reducta, ac de Hercule; de

48 [i]Αἰγιεῖς οὔτε τρίτοι, οὔτε τέταρτοι: Ἐπὶ τῶν εὐτελῶν καὶ μηδενὸς ἀξίων. Οἱ γὰρ Αἰγιεῖς οἱ ἐν Ἀχαΐᾳ νικήσαντες Αἰτωλοὺς, τὴν Πυθίαν ἐξηρώτων, τίνες εἰσὶ κρείττονες τῶν Ἑλλήνων· ἡ δὲ εἶπεν, A

Τμεῖς δ' Αἰγιεῖς οὔτε τρίτοι, οὔτε τέταρτοι.

49 Ἀκαρπότερος εἶ [j]Ἀδώνιδος κήπων: Ἐπὶ τῶν μηδὲν γενναῖον τεκεῖν δυναμένων εἴρηται ἡ παροιμία· μέμνηται αὐτῆς Πλάτων ἐν Φαίδρῳ. Γίνονται δὲ οὗτοι οἱ κῆποι τοῦ Ἀδώνιδος εἰς ἀγγεῖα κεράμεια σπειρόμενοι, ἄχρι [k]χλόης μόνον· ἐκφέρονται δὲ ἅμα τελευτῶντι τῷ θεῷ, καὶ ῥιπτοῦνται εἰς κρήνας. B

50 Ἄκαιρος ἔννοια [l]οὐδὲν ἔχθροῦ διαφέρει: Ταύτην φασὶν Ἱππόλυτον εἰπεῖν πρὸς [m]Φαίδραν φάσκουσαν φιλεῖν τε καὶ στέργειν αὐτὸν μάλιστα ὑπὲρ πάντας ἀνθρώπους. C

51 [n]Ἀκάνθινος τέττιξ: Ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων λέγεται, παρ' ὅσον οἱ Ἀκάνθινοι τέττιγες οὐκ ᾄδουσιν.

quo Alcestidem Admeti conjugem ad superos retrahente supra diximus adag. 18. Porro *Tyndareum puerum* nominat διοσκούρους Valerius Flaccus libro I. Argonaut. et *Tyndareum* Ovid. in Epist. Hermiones. De *Glauco* vero mellis haustu ad vitam revocato Apostolius ex Palæphato περὶ ἀπίστων ad illud Γλαῦκος πιὼν μέλι ἀνέστη. Similia porro exempla de iis qui elati revixerint, colligit C. Plinius lib. VII. Natur. historiæ cap. 52. SCHOTT. De Tyndareo Apollodorus III. 10, 3. Vid. Hemsterhus. ad Lucian. T. I. p. 236. Τυνδάρεον edd. vett. Τυνδάρεων P.

[i] Αἰγιεῖς] Quidam Megarensibus datum oraculum hoc scribunt: Τμεῖς ὦ Μεγαρεῖς οὔτε τρίτοι οὔτε τέταρτοι. Plura Suidas. Steph. in Αἴγιον narrat eadem. SCHOTT.

[j] Ἀδώνιδος κήπων] Platonis locum e Phædro [p. 276 B.] adscribam: Ὁ νοῦν ἔχων γεωργὸς, ὧν σπερμάτων κήδοιτο, καὶ ἔγκαρπα βούλοιτο γενέσθαι, πότερα σπουδῇ ἂν θέρους εἰς Ἀδώνιδος κήπους ἀρῶν χαίροι, θεωρῶν καλοὺς ἐν ἡμέραισιν ὀκτὼ γιγνομένους; ἢ ταῦτα μὲν δὴ παιδιᾶς τε καὶ ἑορτῆς χάριν δρᾴη ἄν, ὅτε καὶ τύχοι. SCHOTT.

[k] χλόαν] χλόης P.

[l] οὐδὲν ἐχθροῦ] Diogenianus et Apostolius ἔχθρας constanter præferunt. SCHOTT.

[m] Φαίδραν] Schol. Euripid. Hippol. 597. ad hæc poetæ verba, φίλως, καλῶς δ' οὐ τήνδ' ἰωμένη νόσον sic commentatur: προσφιλῶς μὲν ἐμοὶ πρᾶξαι βουλομένη, καὶ παντὶ τρόπῳ τοῦτο σκοποῦσα, οὐ μέντοι καλῶς, ἐπεὶ οὐκ ἐστοχάσατο τοῦ μέλλοντος τὸ τέλος, κατ' ἐννοίας μέν φησι, καὶ οὐκ ἐξ ἐπιβουλῆς. Καὶ ἔστιν ὁμοία τῇ παροιμίᾳ, εὔνοια ἄκαιρος οὐδὲν διαλλάσσει ἔχθρας. Barnesius in marg. "Lego: Εὔνοι' ἄκαιρος οὐδὲν ἔχθρας διαφέρει." Vide Porsoni Præf. ad Eurip. Hec. p. xix.

[n] Ἀκάνθινος] Stephanus Byzantius *Acanthum* Ætoliæ opidum facit, mutasque ibidem cicadas. Plinius lib. VI. cap. 27. in agro Rhegino cicadas omnes silere

52 Ἀκεσίας ἰάσατο: Ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων. [o]Ὅλην A
δὲ [o]Ἀριστοφάνης ἐν τετραμέτροις ἐκφέρει, λέγων,

Ἀκεσίας τὸν πρωκτὸν ἰάσατο.

[p]Ἀκεσίας γάρ τις ἐγένετο ἰατρὸς ἀφυὴς, ὃς τὸν πόδα τινὸς ἀλ-
γοῦντος κακῶς ἐθεράπευσεν.

53 Ἀκκώ: Ἐπὶ τῶν μωραινόντων. [r]Ἡ γὰρ Ἀκκὼ γυνὴ γέγονεν B
ἐπὶ μωρίᾳ διαβεβοημένη, ἣν φασὶν ἐσοπτριζομένην τῇ εἰκόνι
ὡς ἑτέρᾳ διαλέγεσθαι. [s]Ἔνθεν καὶ τὸ [q]Ἀκκίζεσθαι περὶ ταύτην
λελέχθαι.

54 [t]Ἄκοτε τοῦ τὰ τέσσαρα ἅτα ἔχοντος: Ἐπὶ τῶν [r]ἀπει-
θούντων. Χρησμὸς γὰρ ἐδόθη Ἐντίμῳ τῷ Κρητὶ καὶ Ἀντιφήμῳ C
τῷ Ῥοδίῳ, φυλάξασθαι τὸν τετράωτον. Ἦν δὲ οὗτος λῃστὴς
Φοῖνιξ. Οἱ δὲ τοῦ χρησμοῦ ἀμελήσαντες ἀπώλοντο. [u]Ἢ ἐπὶ
τοῦ πολλὰ ἰδόντος καὶ πολλὰ ἀκούσαντος, [s]ὡς Ἀριστοφάνης φη-
σίν. [u]Ἄλλοι δὲ, τὴν παροιμίαν παραγγέλλειν τῶν ἀληθευόντων
ἀκούειν. [t]Οὐδεὶς γὰρ ἀψευδέστερος τοῦ Ἀπόλλωνος, ὃν τε- D
τράχειρα καὶ τετράωτον ἱδρύσαντο Λακεδαιμόνιοι, ὥς φησι Σωσί-
βιος, ὅτι τοιοῦτος ὤφθη τοῖς περὶ Ἀμύκλαν μαχομένοις.

scribit, ultra flumen vero in Locris canere. Lege Pausaniam lib. II. Eliacorum [VI. 6.] et Strabonem lib. VI. Geographiæ [p. 374=399.] qui et de Eunomo Locrensi ac cicada sonitum fractæ chordæ supplente fabulam memorat. De qua pluribus nos ad Photii Bibliothecam in Cononis Narrat. 7. Adde Theophylacti Simocatæ Proœmium in Physica Problemata. SCHOTT.

[o] Ἀριστοφάνης ἐν τετραμέτροις] Suspicor reponendum Ἀρχίλοχος ἐν τετραμέτροις. Versus scilicet Ἀκεσίας τὸν πρωκτὸν ἰάσατο prior est tome asynarteti, qualem ab Archilocho compositum tradit Hephæstio c. 6. et 15, 2.

[p] Ἀκεσίας γὰρ] Vatic. cod. aliter: Ἔοικε δὲ Ἀκεσίας πρὸς τὸ χεῖρον θεραπεῦσαι. SCHOTT.

[q] Ἀκκίζεσθαι] Usurpat verbum hoc sæpe Lucianus, sed alia notione pro *dissimulate recuso*, ut Chiliastes Erasmus et in Thesauro suo Henr. Stephanus observarunt. Sic M. Tullius lib. II. Epist. 19. ad Atticum: *Hoc, opinor, certi sumus periisse omnia: quid enim ἀκκιζόμεθα tam diu?* Plutarchus, περὶ Στωϊκῶν ἐναντιωμάτων [p. 1040 B.] notat *Acco* et *Alphito* mulieres fuisse terriculamenta, vel lamias ac lemures. Etymologista eadem cum Zenobio. SCHOTT.

[r] εὐπειθούντων] ἀπειθούντων P.

[s] ὡς Ἀριστοφάνης] Grammaticus scilicet, Erasmo interprete Chil. I. 2, 8.

[t] Οὐδεὶς ἀψευδέστερος] Nulla oracula veriora fuisse Apollinis, aliud adagium indicat, Τὰ ἐκ τρίποδος. SCHOTT.

55 [u] Ἀκίνητα κινεῖν : Καθ' ὑπερβολήν, ὅτι μὴ δεῖ κινεῖν μήτε A
βωμοὺς, μήτε τάφους, ἢ ῥᾳ̃α.

56 [v] Ἀκέσεως καὶ Ἐλικῶνος ἔργα : Ἐπὶ τῶν θαύματος ἀξίων. Οὗτοι γὰρ πρῶτοι τὸν τῆς [w] Πολιάδος Ἀθηνᾶς πέπλον ἐδημιούργησαν· ὁ μὲν Ἀκεσεὺς γένος ὢν Παταρεὺς, ὁ δὲ Ἐλικὼν Καρύστιος. B

57 [x] Ἄκρον λάβε, καὶ μέσον ἕξεις : Ἐπὶ τῶν δυσφράστων καὶ δυσνοήτων. Οἱ γὰρ τὴν Αἴγιναν [x] νικήσαντες πολέμῳ, ἐκπεσόντες τῆς πατρίδος, ἐχρήσαντο τῷ θεῷ. Ὁ δὲ τὸ εἰρημένον αὐτοῖς ἀνεῖλεν. Οἱ δὲ συμβαλόντες τὸν χρησμὸν, ἀκρωτήριόν τι κατασχόντες [y] κατὰ μέσον ᾤκησαν. Ἀπὸ δὲ ταύτης τῆς αἰτίας C
ὅταν τι δυσνόητον θέλωμεν αἰνίττεσθαι, χρώμεθα τῷ προειρημένῳ.

[u] Ἀκίνητα] Plato [Legg. p. 843 A.] et Plutarchus sæpe adhibent. Loca vide apud Erasmum. SCHOTT. Vid. Schol. Platon. p. 28. Wyttenbach. Ind. Plutarch. v. Ἀκίνητος. Heindorf. ad Platon. Theæt. p. 419.

[v] Ἀκέσεως καὶ Ἐλικῶνος] Athenæus II. p. 48 B. Ἤκμασε δὲ ἡ τῶν ποικίλων ὑφὴ, μάλιστα ἐντέχνων περὶ αὐτὰ γενομένων Ἀκεσᾶ καὶ Ἐλικῶνος τῶν Κυπρίων. Τφάνται δ' ἦσαν ἔνδοξοι· καὶ ἦν Ἐλικὼν υἱὸς Ἀκεσᾶ, ὅς φησιν Ἱερώνυμος. Vid. Junius in Catalogo Artificum p. 2.

[w] Πολιάδος] Sic dictæ quasi civilis aut urbanæ. Πόλις enim κατ' ἐξοχὴν, Byzantium dictum, et ἄστυ vocatæ *Athenæ*, ut *Urbs* pro Roma. Servius ad illud Virgilii : *an quo via ducit, in Urbem?* Et Donatus ad illud Comici in Eunucho : *An in astu venit?* De hac autem Pallade multa Pausanias in Atticis, et Strabo lib. IX. γεωγρ. [p. 572=604.] Meminit et Ælianus lib. II. ποικ. ἱστορ. cap. 9. Ὦ πολιὰς Ἀθηνᾶ, καὶ Ἐλευθέριε Ζεῦ. Male ergo in scriptis Diogeniani exemplaribus παλάδος Ἀθηνᾶς legebatur. SCHOTT.

[x] νικήσαντες πολέμῳ, ἐκπεσόντες τῆς π.] Corrigit Valckenærius, οἰκήσαντες, πολέμῳ ἐκπεσόντες τῆς π. qui monet νικήσεως et οἰκήσεως permutari infra V. 74.

[y] κατὰ μέσον ᾤκησαν] Pro habitarunt, ut veteres loquebantur. Platonis autem non dissimilis est locus initio lib. III. De legibus, de primis mortalibus montium cacumina inundationum metu incolentibus; post paulatim ad medium, hinc ad pedem, aquarum fontiumque causa migrantibus. Liceat etiam aptare adagium, hortando ad summa quisque ut contendat; sic enim futurum medium ut teneat. M. Tullius in Bruto : *Prima sequentem, honestum est in secundis tertiisque consistere.* Quo etiam pertinet illud : *Iniquum postula, ut æquum auferas.* Proverbium aliter paullo Apostolius habet, et concisius in scidis additamentorum e Vaticana. SCHOTT.

58 [z] Ἀκόνην σιτίζειν: Ἐπὶ τῶν τροφῇ μὲν πολλῇ χρωμένων, A
μηδὲν δὲ εἰς τὸ σῶμα ἐπιδόντων.

59 Ἀκέφαλος μῦθος: Ἐπὶ τῶν ἀτελῆ λεγόντων. [a] Πλάτων·
Ἐὰν μῦθον ἀκέφαλον [b] ἐκὼν καταλίπωμι.

60 Ἀκαρπότερος ἀγρίππου: Ἐπὶ τῶν πάνυ πενομένων εἴρηται.
Λάκωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν Ἄγριππον καλοῦσιν. B

61 [c] Ἄκροι ἅψασθαι τῶι δακτύλωι: Ἐπὶ τῶν οὐκ ἀκριβῶς
ἠσκημένων.
Οὐδὲ κατὰ τὴν παροιμίαν ἄκρῳ τῷ δακτύλῳ ἁψαμένων.

62 [d] Ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν: Ἐπειδὴ τοῖς κοινω-
νήσασι τούτων φίλοις χρῆσθαι δεῖ. C

63 Ἅλμη οὐκ ἔνεστ' αὐτῶι: Ἐπὶ τοῦ [e] ἁλυκοῦ καὶ ἀηδοῦς
κατ' εἰρωνείαν εἴρηται.

[z] Ἀκόνην] Totidem hæc verbis in Suida legi typographorum στέφανος, omissa tamen per incuriam librarii voce πολλῇ, adnotavit. SCHOTT.

[a] Πλάτων] Platonis locus lib. VI. De legibus [p. 752 A.]: Οὔκουν δήπου λέγων γε ἂν μῦθον ἀκέφαλον ἐκὼν καταλίποιμι. Unde in Zenobio pro εἰκὼν rescribendum ἐκὼν duxi. SCHOTT.

[b] εἰκὼν P. edd. vett.

[c] Ἄκρῳ ἅψασθαι] Utitur Lucianus in Demonactis vita [c. 4.] et in epistola quadam Basilius, locis ab Erasmo citatis. Eleganter vero Cicero in Cæliana, adjuncta item affini parœmia: *Multos et vidi in hac civitate et audivi, non modo qui primoribus labiis gustassent genus hoc vitæ, et extremis, ut dicitur, digitis attigissent; sed qui totam adolescentiam voluptatibus dedissent, emersisse aliquando, et se ad frugem bonam, ut dicitur, recepisse.* SCHOTT.

[d] Ἅλας καὶ τρ.] E Pythagoreo fluxisse præcepto apparet. Origenes lib. II. contra Celsum, Archilochum Parium iambographum adducit, qui Lycamben, quod salem ac mensam esset prætergressus, insectatus sit his verbis: Ὅρκον δὲ ἐνοσφίσθης μέγαν, ἅλας τε καὶ τράπεζαν. Aristot. lib. VIII. [c. 4.] Ethic. Nicomach. Κατὰ τὴν παροιμίαν γὰρ οὐκ ἐστὶν εἰδῆσαι ἀλλήλους πρὶν τοὺς λεγομένους ἅλας συναναλῶσαι. Demostheni etiam et Chrysostomo ἁλῶν κοινωνοῦντες, *sodales convictoresque* dicuntur. SCHOTT. Mox ἐπὶ F. pro ἐπειδή.

[e] ἁλικοῦ] Pro ἁλικοῦ, quæ hîc vox minime quadrat, quod *salsum* significet, Cod. Vatic. γλυκέος καὶ ἀηδοῦς. Rectius Suidas: ἐπὶ τοῦ ἀγλευκοῦς καὶ ἀηδοῦς. Diogenianus et Apostolius ἀναρτύτου. Catullus: *Nulla est in tanto corpore mica salis.* Quem locum Fabius lib. VI. Institut. Orat. excutit, certantque interpretes. Comicus in Eunucho: *Qui habet salem, qui in te est.* Et Cicero Philipp. 2. *Aliquid salis ab uxore mima trahere potuisti.* SCHOTT. ἁλυκοῦ P. F. Eustathius Od. τ'. p. 1859,

64 Ἀλλ' ὥσπερ ἥρως ἐν Ἀσπίδι ξενίσαι σε βούλομαι: Ἐπὶ A
τούτων εἴρηται, οἱ τοῖς αὐτῶν ἔργοις ἢ τέχναις χρώμενοι, τοὺς
φίλους εὐεργετοῦσι· παρ' ὅσον οἱ ἥρωες τὸ παλαιὸν ἔνοπλοι ὄντες
ἐξενίζοντο.

65 Ἄλλοι κάμον, ἄλλοι ἄναντο: Ἐπὶ τῶν παρ' ἐλπίδα κλη-
ρονομησάντων τὰ ἀλλότρια. B

66 [f]Ἀλλ' οὐδὲν δεῖ παρὰ τὸν βωμὸν [g]σε βουλεύειν: [h]Ὅτι
μὴ χρὴ ἐν αὐτοῖς τοῖς [h]πράγμασι βουλεύεσθαι, ἀλλὰ πρὸ τῶν
πραγμάτων· παρ' ὅσον καὶ οἱ τὰ ἱερεῖα προσάγοντες, [i]πρὸ τοῦ
καλλιερῆσαι βουλεύονται.

67 [k]Ἀλλ' οὐκ ἀΐθις ἀλώπηξ: Πάγαις ἁλώσεται λείπει· παρ' C
ὅσον ἅπαξ διαφυγοῦσα πάγας, δεύτερον οὐκ ἐμπεσεῖται. Εἴ-
ρηται δὲ ἡ παροιμία ἐπὶ τῶν πονηρὸν συκοφάντην ἐκφευγόντων.

68 [l]Ἀλεκτρυόνων μέμφεσθαι κοιλίαν: Ἐπὶ τῶν περὶ τὸν
βίον πολυτελῶν καὶ ἁβροδιαίτων.

69 Ἄλλο γλαῦξ, ἄλλο κορώνη φθέγγεται: Ἐπὶ τῶν τοῖς D
κρείττοσιν ἐριζόντων· ἤτοι ἐπὶ τῶν ἄλλοις οὐ συμφωνούντων.

70 [m]Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα: Ἐπὶ τῶν ἐξαπα-
τᾶν ἐγχειρούντων τοὺς ὁμοίους.

52. καθὰ τῷ ἀπὸ δρυὸς ἡ πέτρης εἶναί τινα ἐστὶ παραχρήσασθαι παροιμιακῶς ἐπὶ ἀγριότητι, οὕτω καὶ τῷ ἀπὸ τῆς πικρᾶς ἀκράχολός τις ἄνθρωπος ἁλμὶν ἐσκόφθη, ἐκ δὲ τῆς νοστίμου, ἅλμην ἔχειν λέγεται ὁ ἡδὺς ἄνθρωπος. Iterum ad χ'. p. 1927, τὸ ἅλμην ἔχειν τῇ μὲν πικρὸν ἄνθρωπον σκώπτει, τῇ δὲ ἡδὺν παραθηλοῖ καὶ ὅ φασιν εὔνοστον.

[f] Ἀλλ' οὐδὲν] Legunt alii hexametron hoc modo: Ἀλλ' οὐδὲν περὶ τὸν βωμὸν δεῖ τὰς ἐπινοίας. Quod extremum displicet Hen. Stephano, [ad Erasmi Prov. III. 4, 28.] malitque βουλεύειν vel βουλεύεσθαι hinc mutuari. Mox etiam Aldina editio pro καλλιτρῆσαι, voce nihili, legit καλλιερῆσαι, optime. Unde et καλλιέρημα *sacra litata*. SCHOTT.

[g] σε βουλεύειν] βαστάζειν P. cum βουλεύειν a MS. in marg.

[h] ἔργοις] πράγμασι P.

[i] πρὸ τοῦ] μετὰ τὸ P. pr. m. πρὸ τοῦ corr. Tum βουλεύονται pr. ἐβουλεύοντο corr.

[k] Ἀλλ' οὐκ] In Græcis Plutarchi Collectaneis proverbiorum MSS. (quæ mihi videre nunc demum contigit) repperit hæc Desiderius: Ἀλώπηξ διαφυγοῦσα πάγας, οὐχ ἁλίσκεται. Male igitur πάσας olim operæ pro πάγας hîc excuderunt. SCHOTT.

[l] Ἀλεκτρυόνων] Aristophanes in Vespis [790.] et ex illo Suidas: Ἀλεκτρύονος μ' ἔφασκε κοιλίαν ἔχειν· Ταχὺ γὰρ καταπέψει τ' ἄργυρον. SCHOTT.

[m] Ἀλωπεκίζειν *vulpinari* reddidi, a qua voce M. Varro Mysteriis,

71 Ἁλώπηξ οὐ δωροδοκεῖται: Ἐπὶ τῶν οὐ ῥᾳδίως δώροις ἁλι- A
σκομένων.

72 Ἄλλως ἴδοις: Ἐπὶ τῶν μάτην πονούντων.

73 Ἄλλοισι μὲν γαῦττα, ἄλλοισι δὲ [n]γόμφοι: Παρ' ὅσον οἱ μὲν λαλοί, οἱ δὲ φάγοι.

74 [o]Ἄλλα μὲν Λεύκων λέγει, ἄλλα δὲ Λεύκωνος ὄνος B
φέρει: Λέγεται μὲν ἐπὶ τῶν [p]ἀσυμφώνως τοῖς ἔργοις τοὺς λόγους παρεχομένων. Λεύκων γάρ τις γεωργὸς μέλιτος ἀσκοὺς εἰς φορμὸν ἐμβαλὼν, ἐκόμιζεν Ἀθήναζε. Κριθὰς οὖν τοῖς φορμοῖς ἐμβαλὼν, ὡς ὑπὲρ κριθῶν ὀλίγον εἰσπραχθησόμενος [q]τέλος, ἐκόμιζε. Τοῦ δ' ὄνου πεσόντος, οἱ τελῶναι βοηθῆσαι βουλόμενοι, C
ἔμαθον ὅτι μέλι ἐστὶ, καὶ ἀπηνέγκαντο τὸ αὐτὸ ὡς ἀτελώνητον.

75 [r]Ἄλλην μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεισρέει: Ἐπὶ τῶν πονούντων, καὶ οὐδὲν πλέον ἀνυόντων. Ἐπειδὰν γὰρ τῆς νεὼς ῥεούσης ἐξαντλῶσι τὸ ἐν τῇ ἀντλίᾳ ὕδωρ, καὶ πλέον εἰσρέῃ, μάτην πονεῖν οἱ ναῦται δοκοῦσιν. D

76 [s]Ἀμεινόνων οἰωνῶν τυχεῖν: Ἐπὶ τῶν ἐκ κακῶν εἰς ἀγαθὰ μεταβαινόντων.

77 [t]Ἀμ' ἔπος, ἄμ' ἔργον: Ἐπὶ τῶν [u]ταχέως τε καὶ ὀξέως ἀνυομένων.

apud Nonium, non abhorruit: *Vulpinare, modo*, inquit, *et concursa qua libet, erras.* Senarius autem est: *Cum vulpe vulpinare tu quoque invicem.* SCHOTT.

[n] γόμφοι] Rectius B. γόμφιοι.

[o] Ἄλλα μὲν] Proverbium nude Suidas retulit, deestque τὰ λέγει, quod nec in Diogeniano reperias, qui totidem pæne verbis fabulam refert, Phrygis fabulatoris apologis non absimilem. Apostolii editio υἱὸς pro ὄνος sic præfert: Ἄλλα μὲν Λεύκων, ἄλλα δὲ Λεύκωνος υἱός. SCHOTT.

[p] ἀσυμφώνως] ἀσυμφώνους Dioge-nianus.

[q] τέλος ἐκόμιζε] ἐκόμιζε uncinis inclusit Schottus. vv. οὖν et ἐκόμιζε caret Diogenianus.

[r] Ἄλλην μὲν] Utitur hoc proverbio Lucianus Hermot. c. 61. ubi v. Schol.

[s] Ἀμεινόνων οἰωνῶν] Aves olim in auguriis et auspiciis *addicere* et *abdicere* dicebantur T. Livio ac Festo. Homerus Il. μ'. [243.] Εἷς οἰωνὸς ἄριστος ἀμύνασθαι περὶ πάτρης. SCHOTT.

[t] Ἀμ' ἔπος] Homericum est proverbium. Terentius: *dictum, factum.* Virgilius lib. I. [142.] *dicto citius tumida æquora placat.* Ex illoHomeri [Il. τ'. 242.] Αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον. Et Hymno in Mercurium [ ] ἅμ' ἔπος τε καὶ ἔργον. SCHOTT.

[u] ταχέως καὶ] ταχέως τε καὶ P.

78 [x] Ἀμελοῦς γωνία: Ἐπὶ τῶν ἀργῶς καὶ ῥαθύμως καθημένων. A
[v] Ἔστι δὲ καὶ χωρίον Λιβύης Ἀμελὴς γωνία καλούμενον.

79 Ἀμουσότερος Λειβηθρίων: Ἐπὶ τῶν ἀμούσων καὶ ἀπαιδεύτων. Λειβήθριοι γὰρ [y] ἔθνος Πιερικόν ἐστιν, οὔτε μέλους ἁπλῶς, οὔτε ποιήματος ἔννοιαν λαμβάνον. Λέγονται δὲ ἀμουσότατοι εἶναι, ἐπειδὴ παρ' αὐτοῖς ὁ τοῦ Ὀρφέως ἐγένετο θάνατος. B

80 [z] Ammon metreîn: Ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνεφίκτων.

81 Ἂν' ἡλέηται, καὶ τέθνηκεν ἡ χάρις: Ἐπὶ τῶν εὐεργετουμένων καὶ παραχρῆμα τῆς χάριτος ἐπιλανθανομένων.

82 [a] Ἄμμες [b] πότ' ἦμες: Λακωνικὴ ἡ παροιμία. Οἱ γὰρ πρεσβύτεροι ἐν Λακεδαίμονι χορεύοντες τοῦτο ἐπέλεγον, Ἄμμες πότ' C ἦμες· ἀντὶ τοῦ, Ἡμεῖς ποτὲ ἦμεν.

83 [c] Ἄμας ἀπήιτοτν, οἱ δ' ἀπηρνοῦντο σκάφας: Ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτουμένων, ἄλλα [d] δὲ μὴ ἔχειν ἀρνουμένων.

[x] Ἀμελοῦς γωνία] Ἀμελοῦς χώρα Plutarch. II. p. 300 A. ubi v. Wyttenbach.

[y] ἔθνος Περσικόν] Corruptus videatur locus. Apud Thraces enim interfectus, non in Perside, *Orpheus*. Venit itaque in mentem parva litterarum commutatione Πιερικὸν reponendum. *Pierides* enim *Musæ* dictæ, ut et *Libethrides* Virgilio in Melibœo. Fontis meminit Strabo, Plinius, Solinus. De *Orphei* autem monumento a Libethriis violato multa in Bœoticis Pausanias, quem vide. SCHOTT. Πιερικὸν Diogenianus, et B. 107.

[z] Ἄμμων] Confine illi Κύματα μετρεῖν, et *Coræbo stultior*, qui undas numerare tentabat. SCHOTT.

[a] Ἄμμες] Laconicæ hujus cantionis in choreis celebratæ meminit Plutarchus libro, Quomodo se quis citra invidiam laudare possit [p. 544 E.] Διὸ καὶ τῶν ἐν Λακεδαίμονι χορῶν ᾄδουσιν, οἱ μὲν τῶν γερόντων, Ἄμες ποτ' ἦμεν ἄλκιμοι νεανίαι· οἱ δὲ τῶν παίδων, Ἄμες δέ γ' ἐσσόμεθα πολλῷ κάρρονες· οἱ δὲ τῶν νεανίσκων, Ἄμες δέ γ' εἰμέν· αἱ δὲ λῆς, αὐγάσδεο. Et disertius in Laconicis institutis [p. 238 A.] Τριῶν οὖν χορῶν ὄντων κατὰ τὰς τρεῖς ἡλικίας, καὶ συνισταμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων, ἀρχόμενος ᾖδεν, Ἄμες ποτ' ἦμες ἄλκιμοι νεανίαι. Εἶτα ὁ τῶν ἀκμαζόντων ἀνδρῶν ἀμειβόμενος, Ἄμες δέ γ' ἐσμέν· αἱ δὲ λῆς, αὐγάσδεο. Ὁ δὲ τρίτος ὁ τῶν παίδων, Ἄμες δέ γ' ἐσσόμεθα πολλῷ κάρρονες. Plura Politianus Miscell. cap. 88. et Eras. Chil. I. Cent. 9. ad illud Virg. 2. Æn. *Fuimus Troës, fuit Ilium et ingens Gloria Teucrorum*. SCHOTT.

[b] πότ' ἦμες] ποθ' ἧμες P. F.

[c] Ἄμας] Adagii principium adhibet Plutarchus lib. De garrulitate [immo totum adagium citat Plutarchus p. 512 E.] suadens respondenti mentem ut interrogantis accurate perdiscat, ne illud fiat, quod proverbio dici solet, Ἄμας ἀπήιτουν. Explicatque Joann. Tzetzes Variarum Historiar. Chil. VIII. [v. 20.] his versibus: Ἐν

84 [a]Ἂν μὴ παρῇ κρέας, [e]τάριχον στερκτέον: *Παρεγγυᾷ* A *ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.*

85 [f]Ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται:

86 Ἀνὴρ δὲ φεύγων οὐ μένει λύρας κτύπον: *Ἐπὶ τῶν ταχέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα πράττειν.*

87 Ἀνδρὶ Λυδῷ πράγματ' οὐκ ἦν, ἀλλ' αὐτὸς ἐλθὼν B ἐπρίατο: *Ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων· παρ' ὅσον Κροῖσος πολέμιον ἑαυτοῦ ἐπεσπάσατο Κύρον.*

88 [g]Ἀντὶ πέρκης σκορπίον: *Ἐπὶ τῶν τὰ χείρω αἱρουμένων ἀντὶ βελτιόνων.*

89 [h]Ἀνεῳγμέναι Μοτσῶν θύραι: *Ἐπὶ τῶν ἐξ ἑτοίμου λαμ-* C *βανόντων τὰ κάλλιστα τῶν ἐν παιδείᾳ.*

90 [i]Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι: *Ἐπὶ τῶν ἐν τοῖς κακοῖς μηδεμίαν εὑρισκόντων βοήθειαν φευγόντων τῶν φίλων.*

παροιμίαις Δίδυμος καὶ Ταρραῖος γράφουσι, Ἅμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας. Ἡ παροιμία προσφυὴς, ὑπάρχει δ' ἡ ῥηθεῖσα, Ὅτ' ἂν ζητῶν τις ἕτερον, ἕτερον τὶ λαμβάνῃ· Ἡ δίδωσι, ζητούμενος, ἕτερον ἀνθ' ἑτέρου. Vide Hieronymum Elenum Belgam, Diatribarum Juris lib. II. ubi et Juvenalis locum Sat. XIV. ab interpretibus male intellectum explanat. Porro proverbio huic simile illud: Ἐγὼ σκόροδά σοι λέγω, σὺ δὲ κρόμμυ' ἀποκρίνεις. Pertinet huc et ἄγροικον illud ex Aristoph. prov. Τὴν σκάφην σκάφην λέγων. SCHOTT. Hoc prov. citat Schol. Aristoph. Pac. 288.

[d] δ' ἔχειν] δὲ μὴ ἔχειν B. recte.

[e] τάριχον] ταρίχει in hoc versu ubique reponendum monet Porsonus ad Suidam Addend. p. 4325. ed. Oxon.

[f] Ἀνάγκῃ] Explicat infra proverbium, Δεινῆς ἀνάγκης οὐδὲν ἰσχυρότερον, et Suidas. Simonidis autem est non semel a Platone laudatum lib. De legibus V. [741 A. et Schol. p. 230.] et VII. [p. 818 B.] et eleganter T. Livius: *Pareatur necessitati, quam ne Dii quidem superant.* SCHOTT. Vid. Heindorf. ad Platon. Protag. p. 593.

[g] Ἀντὶ πέρκης] Lycophronis [476] illud huic geminum: Ὁ δ' ἀντὶ πιποῦς σκορπίον λαιμῷ σπάσας. Et Christi hoc Luc. xi. 11. Τίνα δὲ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; ἢ καὶ ἰχθύν, μὴ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ; ἢ καὶ ἐὰν αἰτήσῃ ὠόν, μὴ ἐπιδώσει αὐτῷ σκορπίον. SCHOTT.

[h] Ἀνεῳγμέναι] Tale illud Diogeniani [III. 23.]: Ἄφθονοι Μουσῶν θύραι. SCHOTT.

[i] Ἀνδρὸς κακῶς] Usurpat Aristides in Panathenaico [vid. Dindorf. fr. Sophocl. 773.] Menandri hunc versum. Et decantatum illud, ut nihil perinde: *Amicus certus in re incerta cernitur.* Ut Theognidi, ut Ovidio; atque adeo Salomoni in proverbiis. Contrarium vero εὐτυχία πολύφιλος. Vide Chil. Eras. et Apostolium De varia notione Ἐμποδών. SCHOTT.

91 [k]Ἄνθρωπος ἀνθρώπου δαιμόνιον: Ἐπὶ τῶν ἀπροσδοκήτως A
ὑπὸ ἀνθρώπου σωζομένων, καὶ διὰ τινὰ εὐδαιμονούντων.

92 [l]Ἄν οἶνον αἰτῇ, [m]κόνδαλον αἰτῶ δίδοτ: Ἐπὶ τῶν
[n]ἀγαθὰ μὲν αἰτούντων, δεινὰ δὲ λαμβανόντων. Ἡ δὲ ἱστορία
ἀπὸ τοῦ Κύκλωπος, παρ' ὅσον αἰτήσας οἶνον τὸν Ὀδυσσέα, τῶν
ὀφθαλμῶν ἐστερήθη. Ὀδυσσέα γὰρ ἐν τῷ σπηλαίῳ κατασχὼν ὁ B
Κύκλωψ, καὶ τοὺς ἑταίρους αὐτοῦ ἀρξάμενος κατεσθίειν, οἶνον παρ'
αὐτοῦ λαβὼν ἔπιε, καὶ ταύτην αὐτῷ τὴν χάριν δίδωσιν, ὕστατον
αὐτὸν καταφαγεῖν. Μεθυσθεὶς δὲ μετὰ τὸ πιεῖν, καὶ ὑπνώττων,
παρ' ἐκείνου ἐξετυφλώθη.

93 [o]Ἄν ἡ λεοντῇ μὴ [p]ἐξίκηται, τὴν ἀλωπεκῆν πρόσ- C
αφον: Ἂν μὴ φανερῶς δύνῃ βλάψαι, πανουργίᾳ χρῆσαι. [q]Ἂν
μὴ κατὰ ῥώμην τὸ προκείμενον ἐξανύοιτο, μηχανῇ καὶ τέχνῃ πε-
ραινέσθω τὸ λειπόμενον. Τάττεται ἡ παροιμία ἐφ' ὧν σοφίᾳ
μᾶλλον ἢ τῇ δυνάμει προσήκει χρῆσθαι, ὡς ὁ ποιητὴς φησὶ,

k Ἄνθρωπος] Plinii locus huc pertinet lib. II. [c. 7. (5.)] Natur. Historiæ: *Hic est vetustissimus referendi benemerentibus gratiam mos, ut tales numinibus adscribant. Quippe et omnium aliorum nomina Deorum et hominum nata sunt meritis.* Et Juvenalis [V. 132.]: *Quadringenta tibi si quis Deus, aut similis Diis Et melior fatis donaret homuncio.* SCHOTT.

l Ἄν οἶνον] De Cyclope Polyphemo Homerus Odyss. IX. et Maro III. Æneid. SCHOTT.

m κόνδυλον] κονδύλους Suidas.

n δεινὰ μὲν λαμβανόντων, ἀγαθὰ δὲ αἰτούντων] ἀγαθὰ μὲν αἰτούντων, δεινὰ δὲ λαμβανόντων P.

o Ἄν ἡ λεοντῇ] Desumptum e Lysandri Apophthegmate in ejus vita apud Plutarchum [p. 437 A.] qui et in Sulla [p. 469 E.] C. Carbonis dictum refert: Ὡς ἀλώπεκι καὶ λέοντι πολεμῶν, ἐν τῇ Σύλλα ψυχῇ κατοικοῦσιν, ὑπὸ τῆς ἀλώπεκος ἀνιῶτο μᾶλλον. Pro ἐξίκηται autem apud Suidam legitur præsens ἐξικνῆται, et πρόσαπτε. SCHOTT.

p ἐξίκηται] ἐξίκηται P. F.

q Ἂν μὴ κατὰ ῥώμην] Virgilius II. Æneidos: *dolus an virtus, quis in hoste requirat?* Thucydides lib. V. [9.] Καὶ τὰ κλέμματα ταῦτα καλλίστην δόξαν ἔχει, ἃ τὸν πολέμιον μάλιστ' ἂν τις ἀπατήσας, τοὺς φίλους μέγιστ' ἂν ὠφελήσειεν. Ceterum non novum est proverbium, (uti vulgo, novo initio hinc facto, inepte antea editum fuit) sed ἐπεξήγησις superioris in Diogeniano, Suida, et Apostolio, una et item altera voce immutata, ut et sequens eodem pertinere videatur. Versus autem Homeri (quem hîc κατ' ἐξοχὴν poëtam nominat Zenobius) hemistichia sunt, laudatque Suidas: Ἦ δόλῳ, ἠὲ βίηφι ex Odyss. ι'. ver. 146. alterum vero, Ἦ ἀμφαδὸν ἠὲ κρυφηδόν, ex Odyss. ξ'. 330. et τ'. 299. Cui simile illud Odyss. λ'. 119. Κτείνῃς ἠὲ δόλῳ, ἢ ἀμφαδὸν ὀξεῖ χαλκῷ. SCHOTT.

[r]Ἡ δίλῳ, ἢ βίηφι, ἢ ἀμφαδόν, ἢ κρυφηδόν. A

94 [s]Ἀντιπελαργεῖν: Ἐπὶ τῶν τὰς χάριτας ἀνταποδιδόντων. Λέγονται γὰρ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς τρέφειν, καὶ μὴ δυναμένων ἵπτασθαι, φέρειν ἐπὶ τῶν ὤμων.

95 [t]Ἀνίπτοις ποσὶν ἀναβαίνων ἐπὶ τὸ στέγος: Ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα καὶ πράξεις ἀφικομένων. B

96 Ἀνδρὸς γέροντος [u]ἀσταφὶς τὸ κράνιον: Ἐπὶ τῶν εἰς μηδὲν χρησιμευόντων, παρ' ὅσον ἅπαν τὸ σῶμα τῶν γερόντων ἀσθενές.

97 Ἀνδρὸς γέροντος μήποτ' εἶς πτηνὴν ὁρᾶν: Ἐπὶ τῶν πρὸς ἕνια μὴ χρησίμων. C

98 [v]Ἀντλεῖν ἀμφοτέραις: Λείπει τὸ χερσίν. Ἐπὶ τῶν σπουδῇ τι ποιούντων. Ὁμοία τῇ, "Πάντα κάλων σεῖε."

99 Ἀνέμοτς γεωργεῖς: Πρὸς τοὺς πονοῦντας καὶ μηδενὸς μεταλαγχάνοντας. Ἐπειδὴ ὁ ἄνεμος πάντα μὲν φύει καὶ αὔξει, οὐδενὸς δὲ τυγχάνει, ἢ μόνον ἄχνην ἀποφέρεται. D

[r] ἢ δίκῃ] ἠδὲ δίλῳ P. Qui mox *βίηφιν*.

[s] Ἀντιπελαργεῖν] Avis hujus pietas passim celebrata, præter Aristot. et Ælianum, ab Origene libro IV. contra Celsum, Basilio M. Homilia VIII. in Hexaëmeron, et Philone in Decalogi expositione. Plinius lib. X. cap. 23. Natur. Hist. *Ciconiæ*, inquit, *nidos eosdem repetunt. Genitricum senectam invicem educant.* Petronius Arbiter in Satyrico: *Ciconia etiam grata, peregrina, hospita, Pietaticultrix, gracilipes, crotalistria.* Aristophanes in Avibus [1353.] Ἀλλ' ἔστιν ἡμῖν τοῖσιν ὄρνισιν νόμος Παλαιὸς, ἐν τοῖς τῶν πελαργῶν κύρβεσιν· Ἐπὴν ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους Πάντας ποιήσῃ τοὺς πελαργιδεῖς τρέφων, Δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν. Atque hinc lex Romæ: *Liberi parentes alant, aut vinciantur.* De qua nos pluribus ad Controversiam primam M. Senecæ Rhetoris. Ceterum Horapollo libro I. Hieroglyph. cap. 55. Cucuphæ eadem omnino tribuit. SCHOTT.

[t] Ἀνίπτοις] Æneas Sophista in Epistola quadam: Οἱ μὲν πολλοὶ, τὸ δὴ λεγόμενον, ἀνίπτοις ποσὶν ἐπιπηδῶσι τοῖς ἱεροῖς. Sæpe Lucianus [Rhet. Præc. c. 14. Pseudol. c. 4.] aliique. Τέγος vel στέγος pro *tecto* et *domo ipsa* accipio. SCHOTT.

[u] ἀσταφὶς] Lucil. apud Nonium *passos* vocat *senes: Rugosi passique senes eadem omnia quærunt.* Vtitur Lucianus in Tyranno de senibus [c. 5.] Ἐπεὶ ἀσταφίδες γε πάντες ἤδη εἰσί. Et venuste Gregorius Palama Animam sic loquentem inducit: Ὅτε δὲ τὸ πρεσβυτικὸν ὑπανέχει κράνιον, μηδὲν ἀσταφίδος τὸ τῆς παροιμίας ἀπειοικὸς, ὡς νήπιον αὖθις λογίζομαι. SCHOTT.

[v] Ἀντλεῖν ἀμφοτέραις] Vide infra Centuria IV. adagio 61. Ubi plura notabimus. SCHOTT.

100 Ἀντὶ κακοῦ κτηνὸς [w]τὴν ἀπαιτεῖς: Ἐπὶ τῶν καλὰ ἀντὶ τῶν A
κακῶν ἀπαιτούντων.

II. 1 Ἄνθρακες ὁ θησαυρὸς [x]πέφτκεν: Ἐπὶ τῶν ἐφ' οἷς ἤλπισαν διαψευσθέντων. Μέμνηται αὐτῆς Λουκιανός· "Τὸ γοῦν τοῦ λόγου ἐκείνου, ἄνθρακες ἡμῖν ὁ θησαυρὸς πέφυκε." Καὶ πάλιν, "Ἀνθρακάς μου τὸν θησαυρὸν ἀπέφηνας." B

2 [y]Ἄξιος τοῦ παντός: Ἐπὶ τῶν σφόδρα τιμίων.

3 Ἄξιος εἶ τῆς ἐν Ἄργει ἀσπίδος: Ἐπὶ τῶν αἰδημόνων καὶ εὐγενῶν. Παρ' ὅσον οἱ ἐν [z]Ἄργει ἀνύβριστοι παῖδες καὶ καθαροὶ κατά τι νόμιμον καὶ παλαιὸν γέρας τὰς ἀσπίδας φορεῦντες πομπεύουσιν. C

4 [a]Ἄξιοι τριχός: Ἐπὶ τῶν εὐτελῶν καὶ μηδενὸς ἀξίων· παρ' ὅσον ἡ θρὶξ οὐδενὸς ἀξία.

5 Ἀπὸ βραδυτέλων ὄνων ἵππος ἄροτεν: Ἐπὶ τῶν ἀπὸ εὐτελῶν ἐπὶ τὰ μείζω μεταπηδώντων.

6 Ἄπληστος πίθος: Ἐπὶ τῶν πολλὰ ἐσθιόντων καὶ γαστρι- D
μαργούντων. Μετήνεκται δὲ ἀπὸ τοῦ μύθου τοῦ περὶ τὰς Δαναΐδας, καὶ τοῦ πίθου εἰς ὃν [b]ἀνιμῶσαι ὕδωρ βάλλουσι. Λέγεται

[w] σῦν] ὖν P. et sic Apostolii MS.

[x] πέφυκεν] Reponendum πέφηνεν ex Luciani locis Stephanus pridem observarat: qui Lucianus adhibet alias proverbium in Timone [c. 41.] Zeuxide [c. 2.] Navigio seu Votis [c. 26.] itemque in Hermotimo [c. 71.] ubi rectius quam in Zenobio μοὶ pro μοῦ legitur, itaque Diogenianus. Parœmiam etiam adhibet Phædrus Aug. libertus Fabularum Æsopicarum lib. IV. *Carbonem, ut aiunt, pro thesauro invenimus.* SCHOTT.

[y] Ἄξιος τοῦ παντός] Sic Terentius dixit, *hominem quantivis pretii.* Et in Sophista Plato [p. 216 C.] Τοῖς μὲν δικαίοις μηδενὸς τίμιοι, τοῖς δὲ ἄξιοι τοῦ παντός. SCHOTT.

[z] Ἄργει ἀσπίδος] Vide proverb. Zenobii ultimum: Ὡς τὴν ἐν Ἄργει ἀσπίδα καθελὼν σεμνύνεται. SCHOTT.

[a] Ἄξιοι τριχός] Henricus Stephanus hîc negationem addi vult, οὐδὲ τριχὸς ἄξιοι, non necessario, nec mihi probat: ut et Latinis *Nauci*, et *Non nauci*; *Flocci*, et *Non flocci*, eodem recidunt. In sequenti vero adagio negationem addi facilius patiar, ut illud sit, quod hodieque vulgo usurpamus, *Lutetiam si quis asinum mittat, equum non redire.* SCHOTT.

[b] ἀνικῶσαι] Rectius Aldinus codex ἀνιμῶσαι, et inf. pro κατακύκισεν, κατῴκισεν. Danaidum vero fabula nota e Nasone libro IV. Metamorph. quam et Euripidis interpres refert. Tibullus lib. I. Eleg. 3. *Et Danai proles Veneris quod numina læsit, In cava*

γὰρ οὗτος ὁ πίθος ἐν Ἅιδου εἶναι οὐδέποτε πληρούμενος· πά- A
σχουσι δὲ περὶ αὐτὸν αἱ τῶν ἀμυήτων ψυχαὶ καὶ κόραι, ἃς Δα-
ναΐδας λέγουσιν, αἳ πληροῦσαι ἐν κατεαγόσιν ἀγγείοις ὕδωρ πρὸς
αὐτὸν φέρουσι τετρημένον. Δύναται δὲ ἡ παροιμία καὶ ἐπ' αὐτοῦ
λέγεσθαι τοῦ Ἅιδου, ὅτι πολλῶν πάντοτε θνησκόντων οὐδέποτε πλη-
ροῦται. B

Ἡ δὲ αἰτία, δι' ἣν αἱ Δαναΐδες κατεκρίθησαν τὴν τιμωρίαν
ταύτην, οὕτως ἔχει. [c]Αἴγυπτος καὶ Δαναὸς ἀδελφοὶ ὄντες τῆς
τῶν Μελαμπόδων ἐκράτουν γῆς, ἥτις νῦν Αἴγυπτος καλεῖται.
Σχόντος δὲ Δαναοῦ θυγατέρας πεντήκοντα, καὶ Αἰγύπτου υἱοὺς
πεντήκοντα, Δαναὸς τοὺς παῖδας τοῦ Αἰγύπτου δεδοικὼς στασιά- C
σαντας [cc]περὶ τῆς ἀρχῆς, ἀναλαβόμενος τὰς θυγατέρας εἰς Ἄργος
ἀφίκετο, κἀκεῖ κατώκισεν. Ὕστερον δὲ οἱ τοῦ Αἰγύπτου παῖδες
πρὸς Δαναὸν ἐλθόντες, τῆς τε ἔχθρας παύσασθαι παρεκάλουν, καὶ
τὰς θυγατέρας πρὸς γάμον λαβεῖν ἠξίουν. Ὁ δὲ μνησικακῶν
αὐτοῦ περὶ τῆς φυγῆς, ὁμολόγει τοὺς γάμους, καὶ διεκλήρου τὰς D
κόρας. Ὡς δὲ ἐκληρώσατο τοὺς γάμους, ἑστιάσας ἐγχειρίδια
δίδωσι ταῖς θυγατράσιν. Αἱ δὲ κοιμωμένους τοὺς νυμφίους ἀπ-
έκτειναν, πλὴν Ὑπερμνήστρας. Αὕτη γὰρ Λυγκέα διέσωσε,
παρθένον αὐτὴν φυλάξαντα. Λέγεται οὖν διὰ τοῦτο τὰς Δαναΐ-
δας, ἄνευ Ὑπερμνήστρας, ἐν Ἅιδου κατακριθῆναι εἰς τετρημένον E
πίθον ὕδωρ ἀντλεῖν.

7 Ἀπὸ βαλβίδος: Οἷον ἀπὸ [d]ἀρχῆς χρὴ ἀγαθὸν εἶναι, ἢ τεχνί-
την, ἢ κοινῶς ἐπὶ πάντων.

8 Ἀπήντησε [e]κεράμοτ βολὴ πρὸς ὑπέρτατον ἄθην: Ἐπὶ
τῶν πασχόντων ἄξια ὧν ἔδρασαν. F

Letheas dolia portat aquas. T. Lucretius iis accommodat, qui vivere perpetuo student, lib. III. [1021.] *Hoc, ut opinor, id est, ævo florente puellas Quod memorant laticem pertusum congerere in vas, Quod tamen expleri nulla ratione potestur.* SCHOTT. *ἀνιμώσαι* F.

[c] Αἴγυπτος καὶ Δ.] Hæc sumpta sunt ex Apollodoro II. 1, 4. sq.

[cc] περὶ] ἐπὶ F.

[d] ἀρχῆς] ἀπὸ ἀρχῆς P. Vid. Aristoph. Vesp. 546. ubi ἀπὸ βαλβίδων.

[e] κεράμου] Aldina editio et Apostolius κακοῦ pro κεράμου præferunt: nec attigisse Erasmum equidem miror. Conjicit doctissimus Hœschelius de eo usurpatum, qui Ἄτης dictus, facinoris

9 Ἅπαντα τοῖς σοφοῖσιν εὔκολα: Ἐπὶ τῶν διὰ φρονήσεως καὶ τῶν δυσκόλων περιγινομένων. A

10 Ἀττικὸς εἰς λιμένα: Ἡ παροιμία ἐστὶ ἐπὶ τῶν ἐν τοῖς λιμέσι τὴν ἀνδρείαν ἐπιδεικνυμένων. Οἱ γὰρ Ἀττικοὶ ναῦται ὁπότε καταπλέοιεν οἴκαδε, προθυμότερον ἤλαυνον τοῖς οἰκείοις ἐπιδεικνύμενοι. B

11 Ἀντ' εὐεργεσίης Ἀγαμέμνονα [f]δῆσαν Ἀχαιοί: Αὕτη κατὰ τῶν ἀχαρίστων λέγεται. Φασὶ δὲ αὐτὴν ὑπὸ Μέσωνος τοῦ Μεγαρέως πεποιῆσθαι.

12 [g]Ἀλώνητον ἀνδράποδον: Ἴσον τῷ, βάρβαρον καὶ εὐτελές. Εἰς τὴν μεσόγειον γὰρ ἀναβάντες οἱ ἔμποροι ἐκόμιζον ἄλας, ἀνθ' C ὧν τοὺς οἰκέτας ἐλάμβανον. Ὅθεν καὶ ὁ κωμικὸς φησί·

Θρῇξ εὐγενὴς εἶ πρὸς ἅλας [h]ἠγορασμένος.

13 Αἱ Χάρητος ὑποσχέσεις: Ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων πολλά. Χάρης γὰρ ἐγένετο στρατηγὸς Ἀθηναῖος προθύμως ἐπαγγελλόμενος. D

14 Ἁλιεὺς πληγεὶς νοῦν οἴσει: Αὕτη παραπλήσιόν τι λέγει τῷ,

[i]Ῥεχθὲν δέ τε νήπιος ἔγνω.

Ἁλιεὺς γὰρ, ὡς [k]φασὶ, τοὺς ἁλισκομένους ἐν τῷ λίνῳ ἰχθῦς μετεχειρίζετο, καὶ πληγεὶς ὑπὸ σκορπίου, ἔφη, Πληγεὶς νοῦν E

pœnam non effugerit, adeo ut summo ac remotissimo etiam loco haud ab ictu lapidis tutus esse potuerit. SCHOTT. κεραυνοῦ B. 137.

[f] δῆσαν] Suidas τῖσαν pro δῆσαν hîc legit, vertitque Chiliastes: *Pro meritis male tractarunt Agamemnona Graii.* Extrema illa de Mesone plerisque ignota. SCHOTT.

[g] Ἀλώνητον] Addit amplius Suidas, e comici forte versu: Καὶ οἱ Θρᾷκες ἀνδράποδα ἁλῶν ἀπεδίδοντο. *Et Thraces servum pro sale reddiderunt.* Comicum autem Menandrum nominat Diogenianus [I. 100.]: apud quem ὠνημένος legas, et ἀνώνητον pro ἀλώνητον. *Nequam* vero *servus frugi* ἀντιτίθεται M. Ciceroni. SCHOTT.

[h] ἠγορασμένος] ὠνημένος P. suprasc. Vid. Menandri fr. 214. ed. Meineke.

[i] Ῥεχθὲν δέ τε νήπιος ἔγνω] Hemistichium est Homero familiare Iliad. π'. et ν'. *factum novit et excors.* Affine huic illud Hesiodi ἐν ἔργοις, ut multa habent illi principes poëtæ communia: παθὼν δέ τε νήπιος ἔγνω. Ceterum pro φησὶ, videtur legendum φασί. SCHOTT. Vid. Schol. Platonis p. 53. Aristidis T. III. p. 681.

[k] φησὶ] φασὶ P. H.

οἴσω, καὶ ταῖς χερσὶν οὐκέτι τῶν νεοθηρεύτων ἰχθύων ἥπτετο. A
Μέμνηται αὐτῆς [1]Σοφοκλῆς.

15 [m]Ἄειδε τὰ Τέλληνος: Οὗτος ὁ Τέλλην ἐγένετο αὐλητὴς, καὶ μελῶν ἀνυποτάκτων ποιητής. Μέμνηται αὐτοῦ Δι(καί)αρχος ὁ Μεσσήνιος.

16 Ἀπώλεσας τὸν οἶνον ἐπιχέας ὕδωρ: Ἐν [n]Κύκλωπι B
δράματι Πολύφημος οὕτως πρὸς Ὀδυσσέα λέγει, ὅθεν εἰς παροιμίαν περιέστη.

17 [o]Ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ: Ταύτης μέμνηται Μένανδρος, καὶ Σώφρων, καὶ Ἄλεξις. Λέγουσι δὲ ὅτι οἱ Λοκροὶ οἱ

[1] Σοφοκλῆς] Fr. Amphiarai n. 118. ed. Dindorf.

[m] Ἄειδε τὰ Τέλληνος] Adagii hujus supra mentio Cent. I. adag. 45. Pro Δίαρχος, omnino Δικαίαρχος legendum, qui Messenius est; e Messana Siciliæ, de quo Suidas, advocatque non raro C. Plinius, et Athenæus; sed hic lib. XV. initio Milesium vitiose nominat, et De Divinat. M. Tullius. SCHOTT.

[n] Κύκλωπι] Cyclopis hujus dramatis auctor apud eumdem Suidam laudatur Aristius teste Chamæleonte in Satyris. Ulpianus apud Athenæum lib. VIII. [p. 362.] Δειπνοσοφ. Σὺ δὲ ἡμῖν ἐκ γῆς συβούρας ὄνομα πριάμενος ἀπώλεσας τὸν οἶνον ἐπιχέας ὕδωρ. *Tu nobis e terra suburra nomen parans, vinum infusa aqua perdidisti.* Barbare nimirum ut barbarus homo, etiam apud Homerum, Polyphemus, et immanis. SCHOTT.

[o] Ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ] Σώφρων in Vatic. desideratur. Et mox historia concisius refertur: Οἱ δὲ ἀπείπαντο μὲν συμμαχίαν δώσειν, πέμψειν δὲ Διοσκούρους αὐτοῖς βοηθοὺς ὑπέσχοντο. Μάχης οὖν γενομένης ἐνίκησαν οἱ Λοκροὶ, τῶν Διοσκούρων συλλαβομένων. Μηδενὸς δὲ ἀπαγγείλαντος τὴν νίκην, εἰς Λακεδαίμονα ἡ φήμη ταύτην τῇ ἐν ᾗ γέγονεν ἡμέρᾳ διήγγειλεν. Εἴρηται γοῦν ἡ παροιμία, &c. Menandri autem locus est ἐν ἀνατιθεμένῃ, teste Apostolio. Proverbium commemorat M. Tullius lib. II. [c. 2.] et III. [c. 5.] De Natura Deorum: *De Sagra*, inquit, *Græcorum est vulgare proverbium, qui quæ affirmant, certiora esse dicunt, quam illa quæ apud Sagram.* De Græcis vero Strabo lib. VI. [p. 375=400.] in Calabriæ descriptione, qui et Corinthum et Olympiam quoque, ut Spartam, perlatam subito famam refert. Justinus etiam lib. XX. Philippicarum, tacito tamen pugnæ loco. Plutarchus ad hæc in Paullo Æmilio similia repentini nuntii atque ominis commemorans [p. 268 C.] Λέγεται δὲ καὶ τῆς ἐπὶ Σάγρᾳ ποταμῷ μάχης Ἰταλιωτῶν αὐθημερὸν ἐν Πελοποννήσῳ λόγον γενέσθαι, καὶ Πλαταιᾶσι τῆς ἐν Μυκάλῃ πρὸς Μήδους. Notandum et illud ex Eustathio in Bœotiam Homeri [p. 278, 5.] Suida atque Apostolio, dictum etiam de iis prover. qui vera quidem narrarent, fidem tamen non invenirent: quo modo et vetere verbo *Alexandræ* seu *Cassandræ oraculum* usurpatum. SCHOTT.

Ἐπιζεφύριοι πόλεμον ἔσχον πρὸς Κροτωνιάτας, καὶ ἔπεμψαν εἰς A
Λακεδαίμονα συμμαχίας δεόμενοι· οἱ δὲ ἀπεκρίναντο αὐτοῖς, ὅτι
δύναμιν μὲν οὐ δώσουσι, τοὺς δὲ Διοσκούρους αὐτοῖς ἐπιπέμψου-
σιν. Ἀναστρέψαντες δὲ οἱ Λοκροὶ, μάχης γενομένης, ἐνίκησαν
τοὺς Κροτωνιάτας, τῶν Διοσκούρων συλλαβομένων. Τὴν δὲ νί-
κην ἐκ τοῦ αὐτομάτου φήμη τὶς ἤνεγκεν εἰς τὴν Λακεδαίμονα, B
μηδενὸς ἀφιγμένου ἀγγέλου. Μετὰ δὲ ταῦτα ἐλθόντες τινὲς
ἀπήγγειλαν τῇ αὐτῇ ἡμέρᾳ γεγενῆσθαι τὴν μάχην καὶ τὴν νίκην.
Ἐπειδὴ οὖν τὰ παρὰ τῆς φήμης ἀγγελθέντα ὑπῆρχον ἀληθῆ, ἡ
παροιμία εἴρηται ἐπὶ τῶν [p] πάνυ ἀληθῶν. Σάγρα δ' ἔστι τόπος,
ἐν ᾧ τὴν μάχην ἐνίκησαν οἱ Λοκροί. C

18 [q] Αἶξ Σκτρία: Χρύσιππος φησὶν ἐπὶ τῶν τὰς εὐεργεσίας
ἀνατρεπόντων τετάχθαι τὴν παροιμίαν· ἐπειδὴ πολλάκις τὰ ἀγ-
γεῖα ἀνατρέπει ἡ αἶξ. Ἄλλοι δὲ φασὶν ἐπὶ τῶν ὀνησιφόρων λέ-
γεσθαι, διὰ τὸ πολὺ γάλα φέρειν τὰς Σκυρίας αἶγας. Μέμνηται
Πίνδαρος καὶ Ἀλκαῖος. D

19 [r] Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴενται: Οὕτως
Ἡράκλειτος ἐχρήσατο τῇ παροιμίᾳ, ὡς Ἡρακλέους ἐπιφοιτή-
σαντος ἐπὶ τὴν οἰκίαν [s] Κήϋκος τοῦ Τραχινίου, καὶ οὕτως εἰπόντος.
Εὔπολις δὲ ἐν [t] Χρυσῷ γένει ἑτέρως φησὶν ἔχειν τὴν παροιμίαν·

Αὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασιν. E

Καὶ ὁ Πλάτων ἐν τῷ Συμποσίῳ οὕτως αὐτῷ ἐχρήσατο.

20 Ἀλῶν δὲ φόρτος [u] ἔνθεν ἦλθεν ἔνθ' ἔβη: Ἐπειδή τὶς,
ὡς φασὶν, ἔμπορος ἔπλει τὴν ναῦν ἁλῶν πληρώσας· ἀποκαθευδη-

[p] πάνυ ἀληθῶν] Ælian. N. A. XI. 10. ὡς εἶναι Σάγραν τὰ λεχθέντα.

[q] Pindari versum adfert Athenæus libro I. Δειπνοσοφ. Σκυρίας δ' ἐς ἄμελξιν γάλακτος αἶγες ἐξοχώτατοι. SCHOTT. Vid. Pindari Fr. 73. ed. Boeck.

[r] Platonis verba sunt in Symposio [p. 174 B.] Ἵνα καὶ τὴν παροιμίαν διαφθείρωμεν μεταβαλόντες, ὡς ἄρα καὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν αὐτόματοι ἀγαθοί. Eupolidis vero versum aliter Jos. Scaliger concinnat: Ἄκλητοι δειλοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασι. Quadratque illud Homeri de Menelao Il. β'. Αὐτόματος δ' οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος. Ubi Scholiastæ consulendi et Athenæus libro I. atque Erasmus Chiliade I. Cent. 10. Vide infra, Ἄκλητι κωμάζουσιν εἰς φίλους φίλοι. SCHOTT.

[s] Κήτους] Κήϋκος Schol. Platonis p. 44. Jacobs apud Schweighæuser. ad Athenæi V. p. 178 B.

[t] Χρυσογένει] Χρυσῷ γένει Schol. Plat.

[u] ὅθεν] ἔνθεν B.

σάντων δὲ τῶν ναυτῶν, ἐπεισελθοῦσα ἡ θάλασσα τούς τε ἄλας A
ἐξέτηξε, καὶ τὴν ναῦν κατεπόντισεν.

21 [x] Ἀνεπαρίασαν: Ἐπὶ τῶν μεταγινωσκόντων καὶ μετατρεπο-
μένων εἴρηται ἡ παροιμία. Ἐπειδὴ οἱ Πάριοι πολεμούμενοι ὑπὸ
[y] Ἀθηναίων, καὶ ἀνοχὰς παρ' αὐτῶν αἰτήσαντες, καὶ τυχόντες ἐπὶ
ὑποσχέσει τοῦ προδώσειν τὴν πόλιν, εἶτα προσδοκήσαντες συμμα- B
χίαν ἥξειν ποθὲν, ἔλυσαν τὰ ὁμολογούμενα.

22 [z] Ἀνθ' Ἑρμίονος: Εἴρηται ἡ παροιμία ἐπὶ τῶν σωζόντων
τοὺς οἰκέτας· ἐπειδὴ ἐν Ἑρμιόνῃ τῆς Πελοποννήσου ἱερὸν ἦν
Κόρης καὶ Δήμητρος, ἀσφάλειαν παρέχον τοῖς καταφεύγουσιν.
Μέμνηται [a] ταύτης Ἀριστοφάνης ἐν Βαβυλωνίοις. C

23 [b] Ἀνερίνεος εἶ: Τάττεται ἡ παροιμία παρ' Ἑρμίππῳ ἐν
Στρατιώταις. Φασὶ δὲ ὅτι ἐρινεοῦ τῆς ὀλυνθηφόρου ἐν τῷ καρπῷ
φύεται θηρία, ἃ προσαγορεύουσιν ψῆνας. Τούτων οἱ γεωργοὶ λα-
βόντες ἀφάπτουσιν τῶν κλάδων ταῖς συκαῖς, ὅπως αὐτῶν ὁ καρ-
πὸς μὴ ἀπορρέῃ. Ἐνδυόμενον γὰρ εἰς τοὺς σφῆνας τὸ θηρίδιον D
στερεοῖ τούτους καὶ πεπαίνει. Διόπερ ἐπὶ τῶν ἅπερ ἂν λάβωσι
μὴ διακρατούντων εἰρῆσθαι τὴν παροιμίαν.

24 [c] Ἃ φιλοχρηματία Σπάρταν ἔλοι, ἄλλο δὲ οὐδέν: Αὕτη

[x] Ἀνεπαρίασαν] Ficta vox (ut et Πριαμαθῆναι, *Priamizare* Eustathio et Suidæ) a Paro Cycladum una insula: qua de Stephanus Byzantius περὶ πόλεων, qui historiam aliter paulo refert de Miltiade, quo modo et Æmilius Probus, sive is potius Cornelius Nepos est, in Miltiade. Diogenianus [II. 35.] quoque pro *Thebanis, Athenienses* habet. SCHOTT.

[y] Θηβαίων] Dedi Ἀθηναίων cum Diogeniano et Suida. Sæpe commutantur hæ voces.

[z] Ἀνθ' Ἑρμίωνος] Hujus quoque urbis meminit Stephanus, efferturque bifariam Ἑρμίων καὶ Ἑρμιόνα. Suidas adagium habet, et copiosius de Cerere Hermionensi Ælianus, allato et Aristoclis carmine lib. II. Hist. Animalium cap. 4. Meminit et in Corinthiacis Pausanias. Hîc pro οἰκέτας, ἱκέτας emenda. SCHOTT.

[a] ταύτης Ἀριστοφάνης ἐν Βαβυλωνίοις] αὐτῆς Ἀριστοφάνης ἐν τοῖς βαβι. . H. Vid. Dindorf. n. 63.

[b] Ἀνερίνεος] Suidas aliter extulit, Ἀνερίναστος εἶ. De ἐρινέῳ et ψηνὶ lectorem legere jubeo quæ Aristot. lib. V. cap. 32. Histor. Animal. Theophrastus lib. II. de Plantis, et libro II. cap. 12. De causis plantarum, et Plinius lib. XV. cap. 19. notarunt: qui Plinius ψῆνας *culices* vertit; Gaza vero in Theophrasto *culices ficarios* reddit. SCHOTT.

[c] Ἃ φιλοχρηματία] Meminit et Plutarch. in Laconicis, [p. 239 E.] et Cicero II. Offic. [c. 22.] Simile illud Philippi Regis, apud

λέλεκται ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν προαιρουμένων. Μετενή- A
νεκται δὲ ἀπὸ χρησμοῦ δοθέντος Λακεδαιμονίοις, ἐν ᾧ ἔχρησε τότε
ὁ θεὸς ἀπολέσθαι τοὺς Λακεδαιμονίους, ὅταν ἀργύριον καὶ χρυσίον
τιμήσωσι. Μέμνηται τοῦ χρησμοῦ Ἀριστοτέλης ἐν τῇ Λακεδαι-
μονίων πολιτείᾳ.

25 [d] ΑΘΗΝΑΙ ΤΟΝ ΑΙΛΟΤΡΟΝ: Ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ B
κρείττονα τοῖς ἥττοσι διὰ σμικρὰν ὁμοιότητα ἡ παροιμία
εἴρηται· ὡς εἴ τις διὰ γλαυκότητα τὸν αἴλουρον τῇ Ἀθηνᾷ [e] συγ-
κρίνοι.

26 ΑΤΤΙΚΟΙ ΤΑ ΕΛΕΥΣΙΝΙΑ: Ἐλλείπει τὸ ΚΑΘ' ΕΑΥΤΟΥΣ. Λέγει
δὲ Δοῦρις ὅτι ὅταν [f] καθ' ἑαυτοὺς συλλεγέντες τινὲς πράττωσί τι, C
ἐπιλέγουσιν ἑαυτοῖς, Ἀττικοὶ τὰ Ἐλευσίνια.

27 ΑΥΤΩΙ ΜΕΛΗΤΕΟΝ, ΑΛΛ' ΕΠΙ ΤΟΝ ΟΙΚΟΝ: Μέμνηται αὐτῆς
[g] Ἀριστοφάνης ἐν Γεωργοῖς, καὶ [h] Πλάτων ὁ κωμικός. Ἦν δὲ
οὗτος ὁ οἶκος μέγας εἰς ὑποδοχὴν μισθουμένων.

28 [i] ΑΤΤΙΚΟΣ ΠΑΡΟΙΚΟΣ: Δοῦρις καὶ περὶ αὐτῆς λέγει· ὅτι D

eumdem lib. I. ad Atticum [16.] qui arcem nullam satis munitam diceret, quum auro onustus asellus ingredi posset: quæque de aureo in Danaës sinum delapso imbre poëtæ fabulantur. De utroque Horat. lib. III. Od. 16. et ibi interpretes. Simile etiam apud παροιμιογράφους, Diogenianum, Suidam, et Apostolium: Ἀργυρέαις λόγχῃσι μάχου, καὶ πάντα νικήσεις. Vide Joan. Brodæum libro II. Miscellan. cap. 12. SCHOTT.

[d] Ἀθηνᾷ] Glaucos oculos Palladi perpetuo tribuit Homerus, γλαυκῶπις Ἀθήνη. Vide Giraldum Syntagmate XI. De αἰλούρῳ animante domestico legendus Etymologista, derivans παρὰ τὸ αἰόλλειν τὴν οὐράν. Suidæ σπατάλη est: Tzetzæ κατοικίδιος ἢ κατοίκιος γαλῆ, quem *felem* vulgo et *catum* nominamus. SCHOTT.

[e] *συγκρίνει*] l. *συγκρίνοι*.

[f] *καθ' ἑαυτόν*] Aldinus codex multitudinis numero *καθ' ἑαυτούς*. De Eleusiniis sacris Athenis in Cereris honorem non efferendis multi multa, et bis Diogenianus. Tu vide, si vacat, quæ ad Athenagoram Suffridus Petrus Frisius, familiaris olim, pag. 192. adnotavit, quæ non describo. Talia Romæ sacra erant *Bonæ Deæ* (quam *Fatuam* Lactantius nominat) viris interdicta. SCHOTT. Dedi utrobique *ἑαυτούς*. Vide Diogenianum II. 38.

[g] Ἀριστοφάνης ἐν Γεωργοῖς] Num. 170. ed. Dindorf.

[h] Πλάτων ὁ Κωμικὸς] *Platonem Grammaticum* pro *Comicum* legisse hîc apparet Desiderium Chiliastem, qui et usum adagii explanat de iis, qui rebus alienis liberius utuntur, ut solent, qui in conducto habitant. SCHOTT.

[i] Ἀττικὸς π.] Adhibet proverb. Aristoteles libro Rhetor. [II.

ἐπειδὴ Ἀθηναῖοι τοὺς περιοικοῦντας αὐτοῖς καὶ γειτνιῶντας ἐξέβα- A
λον, ἡ παροιμία ἐκράτησε. Κρατερὸς δὲ ἀπὸ τῶν [j]εἰς Σάμον
πεμφθέντων Ἀθήνηθεν [k]ἐποίει τὴν παροιμίαν εἰρῆσθαι. Ἀττικοὶ
γὰρ μεταπεμφθέντες εἰς Σάμον, κἀκεῖ κατοικήσαντες, τοὺς ἐγχω-
ρίους ἐξέωσαν.

29 [l]Αὐτοὶ χελώνας [m]ἐσθίετε, οἵπερ εἵλετε: Ἁλιεῖς ποτὲ B
χελώνας ἀνασπάσαντες διὰ τῶν δικτύων, διένειμον τοῖς [n]παριοῦ-
σιν. Οἱ δὲ μὴ βουλόμενοι λαμβάνειν, εἶπον τοῖς ἁλιεῦσιν,
Αὐτοὶ χελώνας ἐσθίετε, οἵπερ εἵλετε. Ὅθεν εἰς παροιμίαν ὁ λόγος
περιέστη.

30 [o]Ἀσπένδιος κιθαριστής: Ζήνων ὁ Μύνδιος ἐπὶ τῶν φιλο- C
χρημάτων φησὶ τετάχθαι τὴν παροιμίαν, λέγων,

Καθάπερ οἱ Ἀσπένδιοι τῶν κιθαριστῶν Ῥοῦδεμίαν φορὰν ἔξω φέρουσι, πάσας
δὲ ἐν τῷ ὀργάνῳ· οὕτως καὶ ὁ φιλοχρήματος οὐδὲν τῶν πέλας ἕνεκα οἰκονομεῖ,
ἕλκει δὲ ἐφ' ἑαυτὸν πάντα.

31 [q]Αὐτῶι κανῶι: Αὕτη τάττεται κατὰ τῶν ἄρδην ὁτιοῦν λυμαι- D

21, 12.] ad Theodecten tertio: Ἔτι ἴδιαι τῶν παροιμιῶν καὶ γνῶμαι. Οἷον παροιμία, Ἀττικὸς πάροικος, ut Victorius quidem inibi legit. SCHOTT.

j εἰς Σάμον] Vid. Wesseling. ad Diod. Sic. xviii. 8.

k ἐποίει] ἐποίκων Valckenærius.

l Αὐτοὶ χελώνας] Diogenianus et Apostolius ex Apologo originem arcessunt, quasi Mercurius intervenerit, quem piscatores invitarint; recusarit tamen hoc dato responso. Aliter tamen Hesychius. De χελωνοφάγοις Plinius lib. IX. Natur. Hist. cap. 10. Solinus cap. 56. de Taprobane insula: *Maria quoque piscationibus inquietant, marinasque testudines capere gaudent; quarum tanta est magnitudo, ut superficies earum domum faciat, et numerosam familiam non arcte receptet.* SCHOTT.

m ἐσθίετε] ἔσθετε Hesychius.

n παριοῦσιν] παροῦσιν P. H. F. Hesych.

o Ἀσπένδιος κιθ.] Adagionem refert et M. Tullius Verrina tertia [I. 20.] *Atque etiam Aspendium citharistam, de quo sæpe audistis, (id quod est Græcis in Proverbio) quem omnia intus canere dicebant, sustulit et in intimis ædibus suis posuit.* Ibidemque Asconius Pædianus. Rursum in Rullum [Agr. II. 26.] *Intus canere* dixit: quod pro sinistra fides tangere quidam exponunt: alii vero, pro domi ac sibi canere. SCHOTT.

p οὐδεμίαν φορὰν] Altera voce caret Aldinus codex. SCHOTT.

q Αὐτῷ κανῷ] Ellipsis est Attica, et vel ἅμα vel σὺν exaudiendum, ut ex versu iambico Platonis liquet. Sic apud Suidam, Αὐτοῖς ταλάροις ἐσθίειν τὸν τυρόν. Ubi addendum censet doctiss. Hœschelius: Παροιμία ἐκ ἀδηφάγων. SCHOTT.

νομένων. Φησὶ γὰρ ὁ Δίδυμος ὅτι τὰ δεῖπνα ἐπὶ κανῶν ἐκομί- A
ζετο. Καθάπερ ἐν [r]κρυψίοις λέγεται Πλάτων·

'Ανηρπάκασ' ἁπαξάπαντ' αὐτῷ κανῷ.

32 [s]'Αφύας πῦρ: 'Επὶ τῶν τὸ τέλος ὀξὺ λαμβανόντων ἡ παροι-
μία, παρ' ὅσον καὶ τὴν ἀφύαν τάχιστα ἕψεσθαι συμβαίνει μό-
νον ἰδοῦσαν τὸ πῦρ. B

33 [t]'Αφ' ἵππων ἐπ' ὄνοτς: Τὴν παροιμίαν ταύτην ἐροῦμεν ἐπὶ
τῶν ἀπὸ τῶν [u]σεμνῶν ἐπὶ τὰ ἄσεμνα ἡκόντων· οἷον ἀπὸ γραμματι-
κῶν ἐπὶ πραγματικὰ, ἢ εἰς ἄλλό τι τῶν ἀτιμοτάτων.

34 [x]'Ατρέως ὄμματα: Οἱονεὶ ἄτρεπτα καὶ σκληρά. Εἴρηται
ἀπὸ τῆς 'Ατρέως [y]παρανομίας, ὃς ὑπονοήσας ἐκ διαβολῆς τὸν C
ἀδελφὸν Θυέστην μοιχεύειν 'Αερόπην τὴν γυναῖκα αὐτοῦ, τὰ
τέκνα τοῦ Θυέστου συγκόψας καὶ ἑψήσας, δειπνοῦντι παρέθηκε τῷ
πατρὶ, αἴσθησιν παρασχὼν τῆς συμφορᾶς ἐκ τοῦ τελευταῖα τὰ
ἄκρα παραθεῖναι.

35 'Άφωνος 'Ιππαρχίων: Κατὰ τοὺς προπάτορας ἡμῶν δύο κι- D
θαρῳδοὶ διάσημοι ἐγένοντο, 'Ιππαρχίων καὶ 'Ρουφῖνος. Καὶ δὴ
ἀγῶνος ἐνστάντος [z]πενταετηρικοῦ ἀγομένου ἐν 'Ηλιουπόλει κατὰ
τὸ ἔθος, 'Ιππαρχίων ἀχανὴς ἔστη ταραχῇ τῇ περὶ τὸ θέατρον.

36 [a]"Αρκτοτ παροῦσης, ἴχνη μὴ ζήτει: 'Επὶ τῶν δειλῶν

[r] κρυψίοις] Fabricius, in indice Κρυφίοις. Forte leg. ἐν Κρυψίνοις λ. Πλάτων. VALCK. ἐν Γρυλλὶ λέγει καὶ Πλάτων. MEINEKE Quæst. Scen. II. p. 15.

[s] 'Αφύας πῦρ] Sic et Diogenianus proverbium extulit [II. 41.], et infra Zenobius IV. 25. exaudiendumque εἶδε. Sic enim Clearchus apud Athenæum libro VII. [p. 285 C.] Εἶδε πῦρ ἀφύα. Suidæ Collectanea, et Apostolius, 'Αφύα ἐς πῦρ. Simile illud Augusti apud Suetonium: *Velocius quam asparagi coquantur.* SCHOTT.

[t] 'Αφ' ἵππων] Aristophanes ἐν νεφέλαις [1275.] "Ιππους γ' ἔλαυνον ἐξέπεσον νὴ τοὺς θεούς. Τί δῆτα λη-
ρεῖς, ὥσπερ ἀπ' ὄνου καταπεσών; Vide et infra adagium 57. 'Απ' ὄνου καταπεσών. SCHOTT.

[u] σεμνῶν] τῶν σεμνῶν P. H.

[x] 'Ατρέως ὄμματα] Nota tragœdiis *Thyestea cena:* de qua et in Adagiorum Centuriis Hadrianus Junius. Totidem autem hæc verbis Suidas, et Apostolius. Diogenian. enim aliter paulo. SCHOTT.

[y] παρανομῆς] παρανομίας P. παρανομ, H.

[z] πενταετηρικοῦ] πενταετερικοῦ P. H. F. Aut ἐνστάντος aut ἀγομένου supervacaneum videtur.

[a] "Αρκτου] Simile de meticulosis venatoribus Luculli dictum apud Plutarch. in ejus vita [p. 496 E.] Οὐκ ἔφη δειλότερος εἶναι κυνηγῶν, ὥστε τὰ θηρία παρελθὼν ἐπὶ κενοὺς αὐτῶν φωλεοὺς βαδίζειν. SCHOTT.

κυνηγῶν εἴρηται ἡ παροιμία. Μέμνηται δὲ αὐτῆς Βακχυλίδης A ἐν Παιᾶσιν.

37 [a]Αἰδεῖς ὥσπερ εἰς Δῆλον πλέων: Ἐπὶ τοῦ ἀφροντίστου καὶ φιληδονοῦντος. Εὐχερὴς γὰρ ὁ πρὸς τὴν Δῆλον πλοῦς, καὶ οἱ ἐκεῖσε καταίροντες ἀφροντίστως πλέοντες ᾖδον.

38 [b]Ἀετοῦ γῆρας, κορύδου νεότης: Παρ' ὅσον καὶ γηράσκων B ἀετὸς ἀμείνων ἐστὶ νεάζοντος ὄρνιθος. Λέγεται δὲ τὸν βίον ἀετὸς καταστρέφεσθαι, τῆς καμπῆς τοῦ ἄνω χείλους πρὸς τὸ κάτω [c]συγκαμψάσης.

39 [d]Ἀράβιος ἀϋπνότερος: Φασὶ τοὺς Ἀραβίους ἐν ταῖς νυκτεριναῖς φυλακαῖς κεχρῆσθαι αὐλῷ ἐπιμήκει· τὸν δὲ αὐλὸν τοῦτον C διαδέχεσθαι ἄλλον ἀπ' ἄλλου, καὶ αὐλεῖν, πῦρ ἀνακαίοντας, ἄχρις ἂν γένηται ἡμέρα.

40 [e]Ἅλις ἀρτός: Ἐπὶ τῶν ἐκ φαυλοτέρας διαίτης ἐρχομένων ἐπὶ βελτίονα εἴρηται ἡ παροιμία. Ἐπειδὴ τὸ ἀρχαῖον οἱ ἄνθρωποι βαλάνοις δρυὸς τρεφόμενοι, ὕστερον εὑρεθεῖσι τῆς Δήμητρος D καρποῖς ἐχρήσαντο.

41 [f]Ἄλλην ἀρτῖν βαλάνιζε: Ἐπὶ τῶν συνεχῶς αἰτούντων ἢ παρὰ τῶν αὐτῶν δανειζομένων εἴρηται ἡ παροιμία. Ἐπεὶ βαλά-

[b] Ἀετοῦ] Terent. Heautont. *Visa est, quod dici solet, aquilæ senectus.* Eurip. in Andromach. [765.] Πολλῶν νέων γὰρ κἂν γέρων εὔψυχος ᾖ Κρείσσων. Vide Plinium lib. X. cap. 3. Aristot. et Demetrium Phalereum Περὶ ἑρμηνείας. Eleganter B. Augustinus ad illud Psalmi CII. *Renovabitur ut aquilæ juventus tua: Dicitur aquila, dum senio gravatur, rostri immodice crescentis unco non posse os aperire, nec cibum capere: unde languescens naturæ vi collidit rostrum ad petram, cujus attritu excusso quod redundabat, ad cibum redit, atque ita reparatur, ut juvenescat omnino.* Porro Jos. Scaliger V. C. versum hunc ita constituebat: Ἀέτιον γῆρας κορύδου νεότητος ἄμεινον. SCHOTT.

[c] συγκαμψάσης] συγκαφθείσης B. Aristot. Hist. An. IX. 32. γηράσκουσι δὲ τῶν ἀετῶν τὸ ῥύγχος αὐξάνεται τὸ ἄνω γαμψούμενον ἀεὶ μᾶλλον, καὶ τέλος λιμῷ ἀποθνήσκουσιν.

[d] Ἀράβιος] Affinis parœmia hac ipsa Centuria, adag. 58. Ἀράβιος ἄγγελος. SCHOTT.

[e] Ἅλις] Utitur Cicero libro II. ad Atticum Epist. 19. ut Epist. 1. Ἅλις σπουδῆς. SCHOTT. Eustath. Od. τ'. p. 1859, 49. Ἅλις δρυὸς ἐπὶ τῶν δυσχερῶς φασι καὶ ἀηδῶς ἐσθιόντων, ὕστερον δὲ κάλλιόν τι εὑρόντων.

[f] Ἄλλην] Vide non dissimile Cent. III. adag. 58. Ἐμαυτῷ βαλανεύσω. SCHOTT. Eustath. Od. τ'. p. 1859, 51. Ἄλλην δρῦν βαλάνιζε, ἄλλας ἐναλλαγὴν βίου δηλοῖ, οὐ μὴν τὴν ἐκ πάντῃ ἀγρίου εἰς ἥμερον.

νοις ἔζων τὸ πρὶν οἱ ἄνθρωποι· καὶ Βαλανιστὰς ἐκάλουν τοὺς μισθῷ τὸν καρπὸν τοῦτον συλλέγοντας. Πρὸς τοίνυν τοὺς τῆς συλλογῆς ἤδη πεπληρωμένης περισκοποῦντας εἴτινες εἶεν ἐν τῇ δρυῖ βάλανοι, οἱ παριόντες ἔλεγον σκώπτοντες, Ἄλλην δρῦν βαλάνιζε. A

42 Ἀεί τις ἐν Κύδωνος: Ἐπὶ τῶν φιλοξένων, καὶ πρὸς ὑποδοχὴν ἑτοίμων· παρ' ὅσον ὁ Κορίνθιος Κύδων φιλοξενώτατος ἐγένετο. B

43 [h] Ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος: Ἐπὶ τῶν ἐπ' ἐλπίδι μὲν ἀεὶ τρεφομένων ἀπαλλάττεσθαι τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περιπιπτόντων. C

44 Ἀεὶ γὰρ ἐπ' πίπτουσιν οἱ Διὸς κύβοι: Ἐπὶ τῶν εἰς πάντα εὐδαιμονούντων. Οἱ δὲ, ἐπὶ τῶν ἀξίως τιμωρουμένων.

45 [i] Ἀγὼν πρόφασιν οὐκ ἐπιδέχεται, οὔτε φιλία: Ὁ Μύλων ὁ παροιμιογράφος Ἰβύκειον τὴν παροιμίαν ταύτην φησὶν, ὡς πρώτου χρησαμένου τοῦ Ἰβύκου. D

46 [k] Ἀκλητὶ κωμάζουσιν ἐς φίλων φίλοι: Παροιμία ὁμοία τῇ, Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν.

47 [l] Ἀεὶ κολοιὸς ποτὶ κολοιὸν ἰζάνει: Ἐπὶ τῶν τοῖς ὁμοίοις

ε ἐν Κύδωνος] Exaudiendum *domo*, ut illa Græcis familiaria ἐν ᾄδου, et Latinis *ad Dianæ*. Habent proverb. totidem verbis Suidæ collectanea et Aristophanis interpres. SCHOTT. Eustathius Od. γ'. p. 1468, 26. Κύδωνες δὲ Κρήτης ἔθνος—εἰ δὲ ἐκ τοῦ τοιούτου Κρητικοῦ τόπου καὶ τὰ κυδώνια παρωνόμασται μῆλα οὐκ ἔστι βεβαίως εἰπεῖν· ὁμοίως δὲ ἀβέβαιον καὶ τὸ φάναι ἀπὸ Κυδωνος αὐτοὺς ὠνομάσθαι τοῦ πάνυ φιλοξένου, περὶ οὗ παροιμία κεῖται τὸ Ἀεί τις ε. Κ. Idem ad Od. τ'. p. 1861, 9. Κύδωνες ἀπὸ Κύδωνος φασὶ τοῦ Ἀπόλλωνος—εἰ δ' οὗτός ἐστιν ὁ παροιμιαζόμενος κατὰ τὸ αἰεί τις ἐν Κύδωνος διὰ τὴν κατ' ἐκεῖνον φιλοξενίαν, οὐ πάνυ δῆλον.

h Ἀεὶ γεωργὸς] Tibull. II. Eleg. 7. huc respexit: *Spes alit agricolas: spes sulcis credit aratis Semina, quæ magno fœnore reddat ager.* SCHOTT.

i Ἀγὼν πρόφασιν] Suidas aliter etiam proverbium citat, Ἀγὼν οὐ δέχεται σκήψεις. Et, Ἀγὼν πρόφασιν οὐκ ἀναμένει. Aristophanes in Acharnensibus [391.] Ὡς σκῆψιν ἂν ἀγὼν οὗτος οὐκ ἐσδέξεται. Vide Pau. Leopardum lib. XIII. Miscell. c. 7. SCHOTT. Vid. Heindorf. ad Platon. Crat. p. 128.

k Ἀκλητὶ] Supra Cent. II. adag. 19. ubi plura. SCHOTT. Eustath. Il. β'. p. 247.

l Ἀεὶ κολοιὸς] Aristot. Ethic. Nicomach. lib. VIII. [c. 1.] Καὶ κολοιὸς ποτὶ κολοιόν. Et disertius idem aureum dicendi flumen (ut Cicero in Topicis nominat) libro Rhetoricorum primo, cap. 11. de

προσομιλούντων. Ἐπειδὴ οὐ μόνον ἐστὶ τὸ ζῶον φιλάλληλον καὶ A
συνδυαστικὸν καὶ ἀγεληδὸν πετόμενον, ἀλλὰ καὶ ἁλίσκεται διὰ
τὴν αὐτοῦ σκιὰν, προσερχόμενον αὐτῇ καὶ καθ' ὕδατος ὁραθείσῃ.

48 Ἀμαλθείας κέρας: Ἡ παροιμία αὕτη ὁμοία ἐστὶ τῇ, [m]Αἶξ
οὐρανία.

Εἴρηται δὲ ἐντεῦθεν. [n]Ἡ Ῥέα τὸν Δία τεκοῦσα ἐν Κρήτῃ, B
δίδωσι τοῦτον τρέφεσθαι ταῖς Μελισσέως παισὶ Νύμφαις Ἀδρα-
στείᾳ τε καὶ Ἰδῃ. Αὗται μὲν οὖν τὸν παῖδα ἔτρεφον τῷ τῆς
Ἀμαλθείας αἰγὸς γάλακτι· αὐξηθεὶς δὲ ὁ Ζεὺς τὴν μὲν αἶγα
κατηστέρισεν, ὅθεν Αἶξ οὐρανία λέγεται, θάτερον δὲ τῶν ταύτης
κεράτων ταῖς Νύμφαις δίδωσι, δεδωκὼς αὐτῷ χάριν, ἵν' ὅπερ αἱ C
Νύμφαι θέλωσιν, αὐταῖς ἀναβλύζῃ. [o]Τοῦτο ὕστερον Ἀχελῶος
λαβὼν, Ἡρακλεῖ δέδωκεν ἀντίλυτρον περιάξαντι θάτερον τῶν κε-
ράτων αὐτῆς, ὅτε περὶ τοῦ γάμου τῆς Δηϊανείρας πρὸς ἀλλήλους

Jucundo agens: Ἐπεὶ τὸ κατὰ φύ-
σιν, ἡδύ· τὰ συγγενῆ δὲ κατὰ φύσιν
ἀλλήλοις ἐστὶν, ἅπαντα τὰ συγγενῆ
καὶ ὅμοια, ἡδέα ὡς ἐπιπολύ· οἷον ἄν-
θρωπος ἀνθρώπῳ, καὶ ἵππος ἵππῳ, καὶ
νέος νέῳ. Ὅθεν καὶ αἱ παροιμίαι εἴ-
ρηνται· ὡς ἥλιξ ἥλικα τέρπει, καὶ ὡς
ἀεὶ τῷ ὁμοίῳ φίλον τὸ ὅμοιον, καὶ
ἐγνώκει θὴρ θῆρα· καὶ ἀεὶ κολοιὸς πρὸς
κολοιόν, καὶ ὅσα ἄλλα τοιαῦτα.
Quod de fera hîc ait philoso-
phus, idem Ethicis ad Eudemum
ita persequitur: Ὅθεν εἴρηται ὡς
ἀεὶ τὸ ὁμοῖον, &c. Καὶ κολοιὸς ποτὶ
κολοιὸν, ἔγγυς δὲ φώρ τε φῶρα, καὶ
λύκος λύκον. Gregorius Nazianz.
Epist. ad Eudoxium: Κολοιὸν δὲ
ποτὶ κολοιὸν ἵζάνει, καὶ τῆς παροιμίας
ἀκούεις. Varro etiam lib. III. De
re rust. *Graculos* quasi *gregaculos*, quod gregatim volent dictos autumat. Festus a gerendo: a sono autem vocis Quinctilianus. Varronis etymo favet Plutarchi illud Περὶ πολυφιλίας [p. 93 E.] Οὐκ ἀγελαῖόν ἐστιν οὐδὲ κολοιῶδες. Quod vero in aqua speculari se graculos Zenobius ait, itaque capi; Athenæus lib. IX. ex Clearcho, et Ælianus in Hist. Animal. et Ioan. Tzetzes Chil. IV. Hist. 109. in oleo, dum se immergunt, capi referunt. SCHOTT. Vid. Schol. Platon. p. 143. Wyttenbach. ad Plutarch. II. p. 93 E. Ceterum F. πὰρ κολοιῶ ἵζάνειν. et sic fere edd. al. Correxi cum B. 44.

[m] Αἶξ οὐρανία] De hoc proverbio supra I. 26. quibus adjice Francisc. Robortellium, qui lib. I. Annotation. cap. 3. *Copiæ cornu* ab *Amaltheæ* distinguit. Fides sit penes auctorem, si is modo fidem faciat. De Acheloo flumine aliter paulo alii fabulantur, Herculem Ætolis copiæ cornu donasse propter fluminis Acheloi coërcitum cornu. Vide Diodorum lib. V. Strabonem lib. X. Pro αὐτῆς autem rectius hîc forte αὐτοῦ, ut ad capram referas. SCHOTT.

[n] Ἡ Ῥέα—γαλακτὶ] Ex Apollodoro I. 1, 3.

[o] Τοῦτο ὕστερον] Vide Apollodor. II. 7, 5. Arg. Sophoclis Trachin.

ἐμάχοντο. Εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν ἀφθόνως τισὶ παρε- A
χομένων τὰς τοῦ πλουτεῖν ἀφορμάς· ἐπεὶ καὶ ὁ τὸ κέρας τῆς
Ἀμαλθείας ἔχων, πᾶν ὃ ἐβούλετο ἀφθόνως ἐλάμβανεν.

49 Ἀιετὸν ἵπτασθαι διδάσκεις: Ἐπὶ τῶν ἐγχειρούντων δι-
δάσκειν τινὰς ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.

50 [p] Ἀιετὸς ἐν νεφέλαις: Ἔστι μὲν οὖν χρησμός· εἴρηται δὲ B
ἐπὶ τῶν δυσαλώτων, παρ' ὅσον ὁ ἀετὸς ἐν νεφέλαις ὢν οὐχ ἁλίσκεται.

51 Ἀεὶ φέρει τὶ [q] Λιβύη κακόν: Ἐπὶ τῶν κακουργοτάτων, καὶ
ἀεὶ προσεξευρισκόντων νεώτερόν τι κακόν.

52 Ἀεί με τοιοῦτοι [r] πόλεμοι διώκοιεν: Ἐπὶ τῶν ἀνάνδρων
καὶ μηδενὸς ἀξίων. C

53 Ἀετὸς θρίπας ὀρῶν: Ἐπὶ τοῦ ἀφροντιστοῦντος καὶ κατα-
φρονοῦντος τῶν μικρῶν.

54 [s] Ἀζάνεα κακά: Ἐπὶ τῶν κακοῖς προσπαλαιόντων. Ἀζάναι
γὰρ τόπος ἐστὶ τῆς Ἀρκαδίας λεπτόγεως, σκληρὸς, καὶ ἄκαρπος,
περὶ ὃν πονοῦντες γεωργοὶ οὐδὲν κομίζονται. D

55 [t] Ἀνάγυρον κινεῖν: Ἔστιν ὁ Ἀνάγυρος δῆμος Ἀττικὸς,
ἔνθα δυσῶδες φυτὸν φύεται, οὕτω καλούμενον Ἀνάγυρος. Εἴρηται
οὖν ἡ παροιμία ἐντεῦθεν ἐπὶ τῶν κινούντων τινὰ ἐπὶ κακῷ ἑαυτῶν.
Τινὲς δὲ λέγουσιν ὅτι [u] Ἀνάγυρος ἥρως γέγονεν, ὅστις τοὺς

p Ἀετὸς] Utitur Pindarus in Nemeis [III. 138.] Aristophan. in Equitibus [1010.] et Avibus [979.], ejusque interpres explicat de re longe ceteris antecellente, ut in Panathen. Aristides: Ἀετὸν ἐν νεφέλαις αὐτὰς ὁ θεὸς καλεῖ πρὸς τἆλλα πολίσματα. SCHOTT. Vid. Schol. Aristid. T. III. p. 341.

q Λιβύη κακόν] Ob varios ac multiformes animantium ac ferarum in Libya partus: unde etiam vulgare Græciæ dictum, teste Plinio lib. VIII. cap. 16. *Semper aliquid novi Africam afferre.* Quo et Anaxilæ versus pertinet apud Athenæum lib. XIV. Δειπνοσ. [p. 623 E.] Ἡ Μουσικὴ δ' ὥσπερ Λιβύη, πρὸς τῶν θεῶν, Ἀεί τι καινὸν κατ' ἐνιαυτὸν θηρίον Τίκτει. Vitiose quoque hoc loco Obsopæi Zenobiana editio Λυκίη pro Λιβύη operarum vitio præfert. SCHOTT. Καινὸν pro κακὸν Aristot. H. A. VIII. 28.

r πόλεμοι] Sic Diogenianus, qui et similia adjicit. Suidas tamen πολέμιοι pro *hostibus* legit. SCHOTT.

s Ἀζάνεα] Proverbii hujus originem e fabula quam ex Hermogene Stephanus de urbibus refert [v. Ἀζανοὶ], et Erasmus Chil. II. Cent. 6. SCHOTT.

t Ἀριστοφάνης] Aristophanis locus sic habet [v. 62.] Πόθεν εἶσιν; Ἀναγυροντόθεν. Νὴ τὸν Δία Ὁ γοῦν Ἀνάγυρός μοι κεκινῆσθαι δοκεῖ. Affine huic, *Camarinam movere.* Desid. hîc leg. SCHOTT.

u ἄνθρωπος] Ἀνάγυρος Valckenær. Diatr. Eurip. p. 269. et sic B.

οἴκους τῶν γειτονούντων αὐτῷ ἐκ βάθρων ἀνέστρεψεν, ἐπειδὴ τὸ A
ἡρῷον αὐτοῦ ὑβρίσαι ἐπεχείρησαν. Μέμνηται ταύτης Ἀριστο-
φάνης ἐν Λυσιστράτῃ.

56 [x]Ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί: Παροιμία ἐπὶ τῶν
ὑπεναντίως λεγομένων ἢ γινομένων· οἷον εἰ ὁ πόρνος τὸν σώφρονα
ἔλεγε πόρνον. Ἐπειδὴ οἱ ποταμοὶ ἄνωθεν κάτω ῥέουσιν, οὐ κάτω- B
θεν ἄνω.

57 Ἀπὸ ὄνου καταπεσών: Ἡ παροιμία τέτακται ἐπὶ τῶν μει-
ζόνων καὶ ἀδυνάτων· ὡς [y]Ἀριστοφάνης,

Ἀπὸ τύμβου πεσών.

Καὶ Εὔπολις, C

Ὥσπερ [z]ἀπὸ χοὸς πεσών.

58 [a]Ἀράβιος ἄγγελος: Παροιμία [b]παρὰ τὸ Ἀράβιος αὐλη-
τὴς παραλαμβανομένη ἐπὶ τῶν ἀπαύστως διαλεγομένων. Εἴρηται
δὲ ἐπὶ τοῦ Ἀραβίου αὐλητοῦ, [c]ὡς ἠύλει μὲν δραχμῆς, ἐπαύετο δὲ
τεττάρων. D

x Ἄνω] Sumtum proverbium ex Euripidis Medea [v. 410.] in qua Chorus: Ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί, Καὶ δίκη καὶ πάντα πάλιν στρέφεται. Usurpat Demosth. Orat. Περὶ παραπρεσβείας, et Cicero lib. X. ad Atticum, Epist. 4. et Julianus παραβάτης, ut ad Senecæ rhetoris Controversiam quinctam notabamus; præter ea quæ Desiderius Chiliastes e Luciano, [D. M. VI. 2.] Laërtio in Diogene Cynico, et Aristotele in Meteoris attulit. SCHOTT.

y Ἀριστοφάνης] Nub. 1276.

z ἀπὸ χοὸς] *Aggere delapsus.* Sic verti τοῦ χοὸς, non *congio*, ex Thucydide et Herodoto. Utitur Plato libro III. De legibus [p. 701 D.] viditque Suidas, et ex illo Erasmus, dicti leporem ἐν ἀμφιβολίᾳ consistere; ἀπὸ νοῦ pro ἀπὸ ὤνου, ut *mente decidere* dicamus, qui sibi excidat: ut Suetonius Augusto *mente lapsum*, et Ulpianus *facultatibus lapsos* dixit. Νοῦς etiam dictus Aristoteles, ut, cum schola abesset, mentem Plato abesse diceret. Νοῦς quoque fluvii nomen Suidæ in Κέσκος, ubi tamen vitiose ἄνους scriptum reperias pro νοῦς, ut ex Pausania in Arcadicis, et Eustathio in Odyss. α'. discas. SCHOTT. ἀπ' ὄχθου πεσών Hesychius.

a Ἀράβιος] Vide plura sup. adag. 39. et apud Suidam atque Apostolium, qui etiam Menandrum laudat in Messenia: Ἀράβιον ἆρ' ἐγὼ κεκίνηκα αὐλόν. Huc pertinet illud Flacci de Musicis: *Omnibus hoc vitium cantoribus, inter amicos Ut numquam inducant animum cantare rogati, Injussi numquam desistant.* SCHOTT.

b περὶ] Leg. παρά.

c ὡς ἠύλει μὲν δραχμῆς ἐπαύετο δὲ τεττάρων] Leg. ὃς δραχμῆς μὲν ἠύλει, τεττάρων δ' ἐπαύετο.

59 [d]Ἀρκάδας μιμούμενος: Παροιμία ἐπὶ τῶν ἄλλως πονούντων καὶ μοχθούντων. Οἱ γὰρ Ἀρκάδες πολλὰ πολεμήσαντες οὐδεμίαν νίκην ἰδίαν ἔσχον, ἀλλ' ἐπὶ μισθῷ ὑπὲρ ἀλλοτρίων ἐμάχοντο. A

60 [f]Βόκχορις: Οὗτος Αἰγύπτιος ὢν ἐπὶ δικαιοσύνῃ καὶ ἐπινοίᾳ κρίσεων ἀπομνημονεύεται. Εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν δικαιότατα καὶ [g]παρευρημένως κρινόντων. B

61 Βάλλ' εἰς Μακαρίαν: [h]Οἱ μὲν κατὰ εὐφημισμὸν [i]ἐξεδέξαντο λέγεσθαι, ἀντὶ τοῦ, Βάλλε εἰς [k]δειλαιότητα. [l]Μακαρίαν γὰρ ἐν Ἅιδου χωρίον διατυποῦσιν. Οἱ δὲ τὴν Μακαρίαν θυγατέρα φασὶν Ἡρακλέους, [m]καὶ κατὰ χρησμὸν εἰς ἑκούσιον θάνατον ἑαυτὴν

[d] Ἀρκάδα μ.] Aliter paulo de Arcadibus hîc Suidas et Apostolius commemorant, ut locum in Zenobio mutilum esse nullus dubitem, et alterius hîc proverbii particulam appensam fuisse existimem. SCHOTT. Dedi Ἀρκάδας. Ceterum recte Schottus mutilum hunc locum esse suspicatus est; sed medicina in promptu est. Scilicet pro ὅσον οἱ Λακεδαιμόνιοι τοὺς καταφεύγοντας εἰς Ταίναρον τῶν Εἱλώτων ἀπαγαγόντες ἀπέκτειναν, hic reponenda ex fine Adag. I. 30. μίαν νίκην ἰδίαν ἔσχον, ἀλλ' ἐπὶ μισθῷ ὑπὲρ ἀλλοτρίων ἐμάχοντο. Verba ὅσον οἱ—ἀπέκτειναν pertinent ad Ταινάριον κακόν. Vid. B. 902.

[f] Βάκχυρις] Βόκχορις hic etiam nominatur a Plutarcho in Demetrii vita [901 D.] ubi et fabellam judicii super meretrice, quæ pecuniam potius quam adolescentem, ut solent, deperibat, narrat. Idemque lib. Περὶ δυσωπίας [p. 529 E.] Βακχόριδι, inquit, φύσει χαλεπῷ γενομένῳ τὴν ἀσπίδα λέγουσιν ὑπὸ τῆς Ἴσιδος ἐπιπεμφθεῖσαν, καὶ τῇ κεφαλῇ περιελιχθεῖσαν, ἄνωθεν ἐπισκιάζειν ἵνα κρίνῃ δικαίως. Meminit proverbii et Suidas, in quo tamen etiam per primam vocalem Βάκχυρις appellatur. SCHOTT. Βόκχορις P. H. F.

[g] παρευρημένως] An παναρμονίως? VALCKEN.

[h] Hæc fere leguntur in Schol. Aristoph. Eq. 1148. Vid. et Schol. Platon. p. 134.

[i] ἐδέξαντο] ἐξεδέξαντο P.

[k] δειλαιότητα] An ἀειδιότητα? VALCKEN.

[l] Μακαρίαν γὰρ ἐν Ἅιδου] Pausanias in Atticis *Macariam* in Marathone paludem esse scribit, in qua magna vis Persarum perierit, ignoratione viarum in ipsam prolapsa. Hesychius (unde Suidas et Apostolius sunt mutuati:) Ἡρακλέους θυγάτηρ Μακαρία, ἣν λόγος κατὰ τὴν Εὐρυσθέως ἐπιστρατείαν εἰς Ἀττικὴν ἐπιδοῦναι σφάγιον ἑαυτὴν ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας. Explicat et Aristophanis interpres in Pluto [782.], et in Equitibus ad illud [1148.] Ἄταγ' ἐς Μακαρίαν ἐκπεδών. Similia sunt, Βάλλ' εἰς ὄλεθρον, ἢ, Βάλλ' εἰς κόρακας. SCHOTT. Vid. Heindorf. ad Platon. Hipp. Maj. p. 293 A.

[m] καὶ κατὰ χρησμὸν] ἦγε κατὰ τὴν ἐπὶ τὰς Ἀθήνας Εὐρυσθέως στρατείαν, τῶν Ἀθηναίων μὴ ἐκδιδόντων αὐτῷ τοὺς Ἡρακλείδας πρὸς τὸν τοῦ Ἐλέου βωμὸν καταφυγόντας, χρησμοῦ

ἐπιδοῦναι, κατὰ τὴν Εὐρυσθέως ἐπὶ τὰς Ἀθήνας στρατείαν. A
[n]Μετὰ θάνατον γὰρ Ἡρακλέους, διώκοντος Εὐρυσθέως τοὺς ἐκείνου παῖδας, καὶ πρὸς τὸν τοῦ [o]Ἐλέου βωμὸν τῶν Ἡρακλειδῶν προσπεφευγότων, Ἀθηναῖοι μὴ ἐκδιδόντες αὐτοὺς, πρὸς Εὐρυσθέα πόλεμον ὑπέστησαν· (καὶ) χρησμοῦ δοθέντος, ἀπαλλαγήσεσθαι τῆς Εὐρυσθέως καταδρομῆς, εἴ τις τῶν Ἡρακλειδῶν πρὸς θανάτον ἑκούσιον ἐκδῷ ἑαυτὸν, ἡ Μακαρία πρὸς θάνατον ἑαυτὴν ἐξέδοτο, καὶ συμβαλόντες Ἀθηναῖοι νικῶσιν Εὐρυσθέα, καὶ πολλῶν πεσόντων, Εὐρυσθέα [p]Ὕλλος ἀπέκτεινε παῖς Ἡρακλέους, καὶ αὐτοῦ τὴν κεφαλὴν πρὸς Ἀλκμήνην ἐκόμισεν· ἡ δὲ κερκίσι τοὺς ὀφθαλμοὺς ἐξώρυξεν αὐτοῦ. Τὸν οὖν τάφον τῆς Μακαρίας ἄνθεσι καὶ στε- B
φάνοις τιμῶντες οἱ Ἀθηναῖοι [q]ἐπέλεγον, Βάλλ' εἰς Μακαρίαν. Τὸ μὲν οὖν πρῶτον ἐπὶ τῶν κατ' ἀρετὴν διδόντων ἑαυτοὺς εἰς θάνατον ἡ παροιμία ἐλέγετο· ὕστερον δὲ ἐπὶ πάσης ἀφοσιώσεως.

62 [r]Βάκηλος εἶ: Ἐπὶ τῶν ἐκλύτων καὶ ἀνάνδρων. Βάκηλος δὲ κυρίως λέγεται ὁ [r]ἀπόκοπος. D

63 [s]Βυζίνη παρρησία: Ἐπὶ τῶν σφόδρα πεπαρρησιασμένων. Ἀπὸ Βυζίνου τοῦ Ποσειδῶνος μετὰ παρρησίας ἀεὶ διαλεγομένου.

δοθέντος τοὺς Ἀθηναίους νικήσειν εἴ τις τῶν Ἡρακλειδῶν πρὸς θάνατον ἑκούσιον ἐκδῷ ἑαυτὸν, κατέσφαξεν ἑαυτὴν, ὡς ἐν Ἡρακλείδαις Εὐριπίδης. [n]Ἧς τὸν τάφον ἄνθεσι καὶ στεφάνοις τιμῶντες οἱ Ἀθηναῖοι, τῶν Ἀργείων ἡττηθέντων, ἐπέλεγον βάλλ' εἰς Μακαρίαν. Τὸ μὲν οὖν πρῶτον ἐπὶ τῶν κατ' ἀρετὴν διδόντων ἑαυτοὺς εἰς θάνατον ἡ παροιμία ἐλέγετο, ὕστερον δὲ ἐπὶ πάσης ἀφοσιώσεως. Schol.

[n] Μετὰ θάνατον] Sequentia usque ad illa, τὸν οὖν τάφον, &c. in Vaticano desiderantur. SCHOTT. μετὰ θάνατον—ὑπέστησαν] Similia Apollodorus II. 8, 1. ubi etiam Ὕλλος—ἐξώρυξεν αὐτοῦ.

[o] Ἐλέου βωμὸν] *Ara Misericordiæ* Athenis, de qua in Thebaide Statius Papinius, et Theophilus lib. I. Institutionum Juris. SCHOTT. Mox ante χρησμοῦ inserendum videtur καί.

[p] ὕστερον ἐπέλεγον] ὕστερον om. P. H. quos secutus delevi mox καταχρηστικῶς.

[q] Βάκηλος] Habent adagium omnes. Phrynichus quoque in vocibus Atticis pro castrato et Asiatico Gallo accipi notavit, extatque Antiphanis versus apud Athenæum lib. IV. [p. 134 B.] cujus hoc initium: οὐχ ὁρᾷς ἀρχούμενον Ταῖς χερσὶ τὸν βάκηλον. *Battalus* autem (quomodo et Demosthenes adolescens per contumeliam appellatus) de effeminatis quoque dictum, ut in Vitis Parallelis Aristot. ac Demost. Olymp. CI. anno 1. notabamus. SCHOTT.

[r] ἀπόκοπος] ἀπρόκοπος P. H. F.

[s] Βυζίνη] De Βυσσῷ gente, unde et Βύσσινον, Stephanus De Urbibus. SCHOTT.

64 Βίος ἐξηνταμένος: Ἐπὶ τῶν ἀχρήστων· ἐκ μεταφορᾶς τῶν A
ἀχρείων αὐλῶν.

65 [t]Βοιώτιος νόμος: Ἐπὶ τῶν τὰς μὲν ἀρχὰς ἠρεμούντων, ὕστερον δὲ τοῖς κακοῖς ἐπιτεινόντων, ὡς φησὶ [u]Σοφοκλῆς·

Ὅταν τις ᾄδῃ τὸν Βοιώτιον νόμον.

Εἴρηται δὲ ἡ παροιμία, παρ' ὅσον Βοιωτοὶ πρότερον βίον [v]ἄλυπον B
καὶ ἤρεμον ἔχοντες, μετὰ τελευτὴν Λαΐου πολλοῖς κακοῖς περιέπεσον.

66 [x]Βοῦθος περιφοιτᾶι: Ταύτης μέμνηται Κρατῖνος ἐν Χείρωσι. Τέτακται δὲ ἐπὶ τῶν εὐήθων καὶ παχυφρόνων, ἀπό τινος Πυθιονίκου Βούθου μετενεχθεῖσα. C

67 [y]Βοῦνας δικάζει: Αὕτη λέγεται ἐπὶ τῶν τὰς κρίσεις ἀναβαλλομένων ἀεὶ καὶ ὑπερτιθεμένων. Βούνας γὰρ Ἀθηναῖος ἐγένετο, ὥς φησι Μνασέας· τούτῳ δὲ Ἠλεῖοι πρὸς Καλυδωνίους διαφερόμενοι ἐπέτρεψαν τὴν δίκην, [z]νομίσαντες ἀναμένειν ἕως ἂν ἀποφήνηται. Γνοὺς δὲ ὁ [a]Βούνας τοῦτο, ἤκουσε μὲν ἀμφοτέρων, D
ἀνεβάλλετο δὲ μέχρι τελευτῆς τὴν ἀπόφασιν.

68 [b]Βοιώτια αἰνίγματα: Ἐπὶ τῶν ἀσυνέτων, ἐκ μεταφορᾶς τῆς Σφιγγός. Παρ' ὅσον Θηβαίοις ἡ Σφὶγξ αἰνίγματα προὔθηκεν· Τετράπους, δίπους, καὶ πάλιν τρίπους. Ὅπερ ἐφευρὼν Οἰδίπους, τὴν τοῦ πατρὸς βασιλείαν εἴληφε, καὶ τὴν ἰδίαν μητέρα ἔγημεν E
ἀγνοῶν. Λαΐῳ γὰρ [c]τῷ Θηβῶν βασιλεῖ χρηστηριαζομένῳ περὶ γενέσεως ἀρρένων παίδων ἀνεῖλεν ὁ θεός·

[t] Βοιώτιος νόμος] Aristophanes in Acharnensibus [14.] effert de cantione rudi, et indocta: Δεξίθεος εἰσῆλθ' ᾄδόμενος Βοιώτιον. SCHOTT.

[u] Σοφοκλῆς] Fr. 858. Dind.

[v] ἄλυπον] ἄλυπον P. H.

[x] Βοῦθος] Meminit quoque hujus Hesychius, qui et Aristotelem laudat auctorem de hujus athletæ victoria. SCHOTT.

[y] Βούνας] Vide infra huic geminum adag. 86. Βουλίας δικάζει. SCHOTT.

[z] νομίσαντες] ὀμόσαντες Wyttenbach. ad Plutarchi Prov. Alex. 23.

[a] Βούνας] ὁ Βούνας P. Mox ἀπόφασιν F.

[b] Sphingis ænigma versibus adfert interpres Sophoclis in Œdipo Coloneo: Ἔστι δίπουν ἐπὶ γῆς καὶ τέτραπον, ᾧ μία φωνή, Καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον ὅσσ' ἐπὶ γαῖαν Ἕρπετὰ κινεῖται, ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον. Ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ, Ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ. SCHOTT.

[c] τῶν Θηβῶν] τῷ Θηβῶν H. F.

[d] Λάϊε Λαβδακίδη A
μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ·
κτενεῖ γάρ σ' ὁ φύς.

[1]Επιλαθόμενος δὲ τοῦ χρησμοῦ Λάϊος συνῆλθε τῇ γυναικὶ αὐτοῦ [1]Ιοκάστῃ. [1]Ως δὲ ἤσθετο παιδίον ἄρρεν ἐξ αὐτῆς γεννηθὲν, τὸν χρησμὸν ἐννοήσας, τὰ τούτου [e]σφυρὰ διέτρησε, καὶ εἰς ὄρος ἐξέ- B
θετο. Βουκόλος δέ τις παριὼν, καὶ τὸ βρέφος ἀνειληφὼς, τῇ ἰδίᾳ γυναικὶ ἀπεκόμισεν. [1]Η δὲ τὰ σφυρὰ τοῦ παιδὸς θεραπεύσασα, Οἰδίπουν αὐτὸν καλεῖ· τοῦτο θεμένη τὸ ὄνομα διὰ τὸ τοὺς πόδας ἀνοιδῆσαι. Τελειωθεὶς δὲ Οἰδίπους, καὶ τῶν ἡλίκων ἐπὶ ῥώμῃ διαφέρων, κατὰ φθόνον ὠνειδίζετο ὑπόβλητος εἶναι. [1]Αφι- C
κόμενος οὖν εἰς Δελφοὺς [f]περὶ τῶν ἰδίων ἐπυνθάνετο γονέων, καὶ χρήσαντος τοῦ θεοῦ πρὸς τὴν πατρίδα μὴ πορεύεσθαι, τὸν μὲν γὰρ πατέρα φονεύσειν τῇ [g]μητρὶ δὲ μιγήσεσθαι, νομίσας ἐξ ὧν [h]ἐλέγετο γεγεννῆσθαι, πρὸς Θήβας ἠπείγετο, καὶ συντυχὼν Λαΐῳ ἐφ' ἅρματος ὀχουμένῳ, κελεύοντος τοῦ κήρυκος [i]κοιράνοις D
ἐκποδὼν μεθίστασθαι, μὴ πειθόμενος παρὰ τοῦ ἡνιοχοῦντος τῷ πατρὶ ἐτύφθη· ὀργισθεὶς δὲ, καὶ τὸν ἡνίοχον καὶ τὸν Λάϊον [k]ὑπερμαχοῦντα τοῦ ἡνιόχου ἀπέκτεινεν. [1]Ελθὼν δὲ εἰς Θήβας, καὶ τὴν βασιλείαν ἐφευρὼν Λαΐου γέρας προκειμένην σὺν τῇ γυναικὶ [l][1]Ιοκάστῃ τῷ λύσοντι τὸ αἴνιγμα τῆς Σφιγγὸς, τοῦτο E
λύσας τὴν τοῦ πατρὸς βασιλείαν παραλαμβάνει, καὶ τῇ μητρὶ

[d] Λάϊε Λαβ.] Oraculi hoc responsum refert Chalcidius et Diodorus Siculus lib. IV. Bibliothecæ. Interpres quoque Sophoclis in Œdipo Tyranno, atque Euripidis Scholiastes in Phœnissis. De Eteocle et Polynice sup. in [1]Αδράστεια Νέμεσις. SCHOTT. Λάϊε Λαβδακίδη—ὁ φύς] Sumpta sunt priora, ut videtur, ex Oraculo quod exhibet Arg. Euripid. Phœniss. posteriora ex Eurip. Phœn. 18. Conferantur seqq. cum Apollodoro III. 5, 7.

[e] σφυρὰ διέτρησε] Diodorus libro IV. [c. 64.] Biblioth. habet διαπερονήσας αὐτοῦ τὰ σφυρὰ σιδήρῳ, ἐξέθηκε τὸ βρέφος. Pastorem idem *Polybum* nominat. SCHOTT.

[f] περὶ] παρὰ P. H.

[g] δὲ μητρὶ] μητρὶ δὲ P. H.

[h] ἔλεγε] ἐλέγετο Valckenærius. Vulg. tamen Apollodorus ante Heynium.

[i] κοιράνοις ἐκποδὼν μεθίστασθαι] Eurip. Phœn. 40. ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.

[k] ὑπερμαχοῦντα] ὑπερμαχοῦντας P. H.

[l] [1]Ιοκάστῃ] ϊοκάστῃ et mox ἑαυτὴ H.

προσομιλεῖ ἀγνοῶν, ἐξ ἧς Ἐτεοκλέα καὶ Πολυνείκην ἐγέννησεν. A
Ὕστερον δὲ παρὰ τῆς μητρὸς ἀναγνωρισθεὶς, ἑαυτὸν ἐτύφλωσεν·
Ἰοκάστη δὲ τῶν τειχῶν τῆς πόλεως ἑαυτὴν ἀνήρτησεν.

69 Βοῦς ἐφ' ἑαυτῷ [m] κονιεῖται: Ἐπὶ τῶν εὐχερῶς ἐπὶ κακῷ σφῶν ἑπομένων. Οἱ γὰρ βόες πρᾷοι ὄντες, ῥᾳδίως τοῖς δεσμοῖς ὑπακούουσι. Τινὲς δὲ, ἐπὶ τῶν εἰς προῦπτον κίνδυνον ἑαυτοὺς B ἐμβαλλόντων.

70 Βοῦς ἐπὶ γλώττης: Παροιμία ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι, ἤτοι διὰ τὸ ἄφωνον τοῦ ζώου, ἢ [n] διὰ τὸ, τὸ τῶν [o] Ἀθηναίων νόμισμα ἔχειν βοῦν ἐγκεχαραγμένον· ὅπερ [p] ἐκτίνειν ἔδει τοὺς πέρα τοῦ δέοντος παρρησιαζομένους. C

71 [q] Βαλὼν ἐκτήσεσθαι οἴει: Πρὸς τοὺς κακόν τι δράσαντας καὶ οἰομένους φυγεῖν.

[m] κονιεῖται] Sic Erasmum legisse video. Obsopæus edidit κωνιεῖται. Taurum etiam furibundum pulverem concitare Græcus poëta nescio quis, at vetus, dixit apud Ciceronem Epist. ad Atticum VIII. 5. Πολλὰ μάτην κεράεσσιν ἐς ἠέρα θυμήναντα. Et Catullus Ecl. De nuptiis Pelei et Thetidos, de tauro a Theseo prostrato: *Nequidquam vanis jactantem cornua ventis.* Et Virgilius XII. Æneid. v. 103. *Mugitus veluti cum prima in prælia taurus Terrificos ciet, atque irasci in cornua tentat, Arboris obnixus trunco, ventosque lacessit Ictibus, et sparsa ad pugnam proludit arena.* SCHOTT.

[n] διὰ τὸ τῶν] διὰ τὸ, τὸ τῶν P. F.

[o] Ἀθηναίων] Julius Pollux lib. IX. cap. 6. [61.] Ἔνιοι Δηλίων, οὐκ Ἀθηναίων, ἴδιον εἶναι νόμισμα τὸν βοῦν νομίζουσιν· ἐντεῦθεν δὲ καὶ τὴν παροιμίαν εἰρῆσθαι, Βοῦς ἐπὶ γλώσσῃ βέβηκεν, εἴ τις ἐπ' ἀργυρίῳ σιωπήσειεν. Interpres quoque Homeri ἄβηλος in Ἰλ. φ'. [79.] Οἱ παλαιοὶ πρὶν ἐπινοηθῆ τὰ νομίσματα, τὰς συναλλαγὰς ἐποιοῦντο διὰ τῶν τετραπόδων, ὅθεν ὕστερον ἐφευρεθέντων τῶν νομισμάτων βοῦν ἐπ' αὐτῶν ἐξετύπουν, ἐνδεικνύμενοι τὸ ἀρχαῖον ἔθος, καὶ παροιμία Βοῦς ἐπὶ γλώσσῃ, ὅ ἐστι, νόμισμα. Ἁρμόζει δὲ ἡ παροιμία αὕτη ἐπὶ τῶν ῥητόρων τῶν λαμβανόντων τὰ νομίσματα ὑπὲρ τοῦ μὴ κατασυνηγορῆσαί τινι, ἀλλὰ σιωπῆσαι. Utitur Theognis ver. 813. Βοῦς μοι ἐπὶ γλώσσης κρατερῷ κεδὶ λάξ ἐπιβαίνων, Ἴσχει κωτίλλειν καίπερ ἐπιστάμενον. Et Philostratus in vita Apollonii: Γλῶτταν τε ὡς πρῶτος ἀνθρώπων σύτισχε, βοῦν ἐπ' αὐτῇ σιωπῆς εὐρὼν δόγμα. Item in Scopeliani Sophistæ vita: Καὶ οὐ χρὴ θαυμάζειν εἰ πεπεδημένου τὴν γλῶτταν τινὲς καὶ βοῦν ἀφωνίας ἐπ' αὐτῇ βεβλημένου. Plura Erasmus prov. *Ululas Athenas.* Pro ἐκτίνειν, quod edimus, male Obsopæus edit κτείνειν. SCHOTT.

[p] ἐκτίνειν] ἐκτείνειν P. H. F.

[q] Βάλλων φεύξασθαι] Vatic. ita: Βαλὼν φεύξασθαι οἴει] Ἐπὶ τῶν κακόν τι πραττόντων, καὶ ἐκφυγεῖν οἰομένων. SCHOTT. Βαλὼν φεύξεσθαι Suid. Hoc item H. vid. ad Suid.

72 Βάλλ' εἰς ὕδωρ: Ἐπὶ τῶν ὀλέθρου ἀξίων· [r]οἷον, Καταπόντι- A
σον.

73 [s]Βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν: Ἐπὶ τῶν οὐ δυνα-
μένων τοῖς ἰδίοις χρῆσθαι καλοῖς· παρ' ὅσον ἀσθενὴς ἡ βύβλος
πρὸς τὸ φέρειν σῖτον. Στάχυας γὰρ ἀνατέλλουσα οὐκ [t]ἐκτρέφει.

74 Βῶλος [u]ἄροτραν: Ἐπὶ τῶν μεγάλοις τὰ μικρὰ φιλοτιμου- B
μένων. [v]Ὁμοιόν ἐστιν εἴ τις θαλάττῃ ἐκ χαράδρας ὕδωρ [x]ἐπεισά-
γει, καὶ χαρίζεσθαι δοκεῖ.

75 Βοῦς ἐπὶ σαρῶι: Ἐπὶ τῶν ἡδυπαθούντων.

76 [y]Βορβόρωι ὕδωρ λαμπρὸν μιαίνων, οἴποθ' εὑρήσεις πο-
τόν: Ἐπὶ τῶν κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις. C

77 [z]Βάλλ' εἰς ὄλεθρον, ἢ, Βάλλ' εἰς κόρακας: Ἐπὶ τῶν
ὀλέθρου ἀξίων.

78 [a]Βατράχοις οἰνοχοεῖς: Πρὸς τοὺς ταῦτα παρέχοντας ὧν οὐ
χρῄζουσιν οἱ λαμβάνοντες.

[r] οἷον καταπόντ.] Vet. codex Vatican. Ἀντὶ τοῦ καταπόντισον. Horatius Carminum lib. III. Od. 24. *Vel nos in mare proximum Gemmas et lapides, aurum et inutile, Summam materiem mali Mittamus, scelerum si bene pœnitet.* SCHOTT.

[s] Βύβλου δὲ καρπὸν οὐ κρατεῖ στα-
χὺς] Aliter Suidas, nec recte legisse videtur: Βύβλου δὲ καρπὸς οὐκ αἰτεῖ στάχυν μέγαν. [Suidæ MSS. κρατεῖ.] Melius Æschylus in Supplicibus [768.] Βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν μέγαν. Atque hoc modo, omisso μέγαν, Gilb. Cognatus hîc edit; vertit tamen, e Suida opinor, *Papyri fructus non postulat magnam spicam.* Mox in Vatic. legitur: Παρ' ὅσον ἀσθ. ἄνωθεν ἡ βύβλος. SCHOTT. καρπὸς et στάχυν B.

[t] ἐντρέφει] ἐκτρέφει P.

[u] ἄρουραν] Rectius ἄρουραν, quam quod in Suida occurrit nominandi casu ἄρουρα, ut exaudias προτίθεται aut αὐξάνει, uti et Erasmus vidit. Et pro μεγάλοις Vatic. μεγίστοις præfert. Non dissimile: *Ligna in silvam ferre.* SCHOTT.

[x] ἐπεισάγει—δοκεῖ] Coislin. ἐπεισ-
άγοι—δοκοῖ.

[y] Βορβόρῳ] Ex Æschyl. Eum. 697.

[z] Βάλλ'] Hoc sæpe Aristophanes est usus in Nebulis [133.] et in Pluto [782.] ejusque Scholiastes: Ἔστι δὲ, inquit, τὸ βάλλ' ἐς κόρακας παρ' ὑπόνοιαν παραποιηθὲν ἐκ τοῦ βάλλ' ἐς Μακαρίαν· περὶ οὗ ἀλλαχοῦ δεδήλωται. Δηλοῖ δὲ ῥίψον ἑαυτὸν εἰς φθοράν. Diogenes Cynicus apud Laërtium: Κρεῖττόν ἐστιν ἐς κόρακας ἀπελθεῖν ἢ ἐς κόλακας. Quo respexit poëta vetus lib. I. Anthol. [c. 42.] Πῶ καὶ λάμβδα μόνον κόρακας κόλακάς τε διῖστᾷ· Οὐκοῦν ταυτὸ κόραξ βωμολόχος τε κόλαξ. Τούνεκά μοι βέλτιστε τόδε ζῶον πεφύλαξο, Εἰδὼς καὶ ζώντων τοὺς κόλακας κόρακας. Vide supra adagio 61. Βάλλ' εἰς Μακαρίαν. SCHOTT. Vid. Eustath. Il. μ'. p. 894, 46. Od. α'. p. 1405, 35.

[a] Βατράχοις] Pherecrates in Coriano apud Athenæum [X. p.

79 [b]Βατράχοι ὕδωρ: Ὡς Γαλῆι στέαρ. Ἐπὶ τῶν ταῦτα διδόντων οἷς χαίρουσιν οἱ λαμβάνοντες. Εἴρηται δὲ καὶ, Βοῦς εἰς ἄμητον, ἐπὶ τῶν μέγα ὠφελουμένων. A

80 [c]Βομβύλιος ἄνθρωπος: Ἐπὶ τοῦ ἀκάρπου· παρ' ὅσον ὁ βομβύλιος καρπὸν οὐ φέρει. Ἔστι δὲ μελίττης εἶδος ἐκ πηλοῦ τὰ κηρία πλαττούσης. B

81 Βοῦς ἀλλότριος τὰ πολλὰ ἔξω βλέπει: Ἐπὶ τῶν ἀμελουμένων παρ' ἀλλοτρίων, καὶ διὰ τοῦτο πρὸς τοὺς ἰδίους δεσπότας, ὡς ἐπιμελουμένους, ἀφορώντων.

82 [d]Βοῦς ἄμητον ἐπιτηροῦντες: Ἐπὶ τῶν μετὰ ὠφελείας καμνόντων. C

83 [e]Βοῦς ὁ Μολοττῶν: Αὕτη λέγεται ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων πράγματα καὶ κατακοπτομένων. Οἱ γὰρ Μολοττοὶ ἐν τοῖς ὁρκωμοσίοις κατακόπτοντες εἰς μικρὰ τοὺς βοῦς, τὰς συνθήκας ἐποιοῦντο.

84 [f]Βοιωτοῖς μαντεύσαιο: Αὕτη [g]κατάρα τίς ἐστιν. Ἡρα- D

430 E.] Ἔρρ' ἐς κόρακας, *βατράχοις οἰνοχοεῖν σε δεῖ*. Quibus et superius adagium adhibet, ut et Stratonicus citharœdus apud eumdem, lib. VIII. [p. 352 B.] in cantorem, Ψάλλε ἐς κόρακας, ambigue ac jocose pro *βάλλε*. SCHOTT.

[b] Βατράχῳ] Ranæ hæc parœmia cum superiore pugnat: et incertum γαλῇ ne *felem*, ait Tzetzes, an *mustelam* significet. Grammatici enim certant, et pingue utrique est gratum. Alterum vero de bove post non longe repetet Zenobius. Suidas ἀμητὸν ἑξυτόνως habet, sed utrumque verum, quod illud *messis fruges* hoc *messis tempus* designet, teste Ammonio. Male autem Cognatus hîc reddidit, *in eos qui multa debent*, pro, *qui magnum adferunt commodum*. SCHOTT. Βατράχου H.

[c] Βομβύλιος] A bombi sono ficta animanti vox. Hesychio enim *βομβαλεῖν*, *labiis tremere*, et *βομβυλιὸν* vel *βομβυλιὸς* poculi genus a murmure, quod edit. Pollux lib. X. cap. 19. et Athenæus lib. VI. ubi erudite Casaubonus cap. 18. Animadversionum. Hinc forte trajectis litteris *Bambalio*, quomodo M. Antonium nominat M. Tullius in Philipp. III. SCHOTT.

[d] Βοῦς εἰς ἄ. ἐ.] Supra concisius, *βοῦς εἰς ἄμητον*. Diogenianus singulari numero ἐπιτηρῶν. Pro μετ' ὠφελείας in Vatic. μετ' ἐπιμελείας legitur. SCHOTT.

[e] Βοῦς ὁ Μολ.] Ritus hic fœderum faciendorum explicatur a Luciano in Toxaride [c. 48.] Fugit autem Erasmum ejusque discipulum Gilbertum hîc ratio, dum *Homolottos* populos, qui nusquam sunt, comminiscuntur; ut ante Leopardum lib. V. cap. 19. Miscellan. vidit Ioannes Hartungus in Observationum Decuriis, et Hen. Stephanus Animadversionibus suis in Chiliadas. SCHOTT.

[f] Βοιωτοῖς] Abominantis sunt et illa, *Hostibus eveniant*. Et *Capiti*

κλείδης γὰρ φησὶ, μαντευομένοις τοῖς Θηβαίοις περὶ [h]τοῦ πολέ- A
μου ἀπεκρίνατο ἡ προφῆτις, ἡ ἐν Δωδώνῃ, νίκην αὐτοῖς ἀσεβήσα-
σιν ἔσεσθαι. Εἷς δὲ τῶν θεωρῶν ἁρπάσας Μυρτίλαν τὴν προφῆ-
τιν, ἐνέβαλεν εἰς θερμοῦ παρακείμενον λέβητα. Ἄλλοι δὲ φασὶν,
ὅτι Θηβαίοις πολεμοῦσι [i]Βόμβος μάντις πλείους ἔφη [k]νικήσειν,
εἰ προθύσαιεν τῶν ἡγεμόνων ἕνα. Οἱ δὲ ἀποκτείναντες τὸν Βόμ- B
βον, ἐνίκησαν.

85 [l]Βέβληκ' Ἀχιλλεὺς [m]δύο καὶ τέτταρα: Τοῦτο Εὐ-
ριπίδου ἐστί. Καὶ Ἀριστόξενος δὲ φησὶν, ὅτι Εὐριπίδης διορθῶν
τὸν Τήλεφον ἐξεῖλε τὴν πεττείαν.

86 [n]Βουλίας δικάζει: Ἐπὶ τῶν τὰς κρίσεις ὑπερτιθεμένων δι- C
καστῶν, ἀπὸ Βουλίου τινὸς Ἀθηναίου· ὃς ἐπὶ τοσοῦτον ἀνεβάλλετο
τὴν δίκην, ὥστε φθάσαι τελευτῆσαι πρότερον ἢ τὴν δίκην ἀποφή-
νασθαι.

87 [o]Βελλεροφόντης τὰ γράμματα: Βελλεροφόντης ἀνελὼν
Βέλλερον, ἢ, ὥς τινες φασὶ, Πείρην, εἰς Τίρυνθα φυγὰς ἐξ Ἄρ- D
γους παραγίνεται πρὸς τὸν Προῖτον. Τούτου ἔρωτα ἴσχει Ἄντεια
ἡ τοῦ Προίτου γυνή· τοῦ δὲ ἀπαρνουμένου, λέγει πρὸς τὸν Προῖ-
τον, ὅτι Βελλεροφόντης ἐρωτικοὺς αὐτῇ προσεπέμψατο λόγους.
Προῖτος δὲ πιστεύσας, ἔδωκεν αὐτῷ ἐπιστολὰς πρὸς Ἰοβάτην κο-
μίσαι· ἐν αἷς ἀνεγέγραπτο, Βελλεροφόντην ἀποκτεῖναι. Ὁ δὲ E
ἀγνοῶν, τὰ γεγραμμένα καθ' ἑαυτοῦ [p]κομίζει. Ἰοβάτης δὲ ἀνα-
γνοὺς ἐπέταξεν αὐτῷ κτεῖναι τὴν πυρίπνουν Χίμαιραν, νομίζων αὐ-

cane talia demens Dardanio. Et *Suo capiti.* Aliaque id genus plura. SCHOTT.

g *καταρατικὴ*] Plutarch. Prov. n. 9. *κατάρα τις.*

h *τοῦ πολέμου*] τοῦ om. H.

i Βόμβος] Βόμβρος Plut. et infra.

k *νικήσειν*] *νικήσεσθαι* Plut.

l Βέβληκ'] Euripidis versum esse negat Aristophanis interpres in Ranis [1447.] apud quem comicum Bacchus usurpat in Æschylum victorem Euripidis. SCHOTT.

m δύο] Vulgo δύω. Vid. Fragm. Euripid. Teleph. n. 3. Dindorf.

n Βουλίας] Βούνας legendum censuit Erasmus, quomodo hac ipsa Centuria adag. 67. et paulo quidem copiosius legas in Vaticanis item additamentis. SCHOTT. Βουλείας H. et F. sed corr. in præf.

o Βελλεροφόντης] Nota ex Homero Ἰλ. ζ'. 155. historia ejusque interpretibus Græcis, Strabone item, et Hygino. Homeri, Hesiodi, et Orphei versus est, Πρόσθε λέων, μετόπισθε δράκων, μέσση δὲ Χίμαιρα. SCHOTT. Ex Apollodoro II. 3.

p *κομίζει*] *κομίζειν* H. F. mox *αὐτοῦ* H.

τὸν ὑπὸ τοῦ θηρίου διαφθαρήσεσθαι. Τριῶν γὰρ ζώων εἶχε φύσιν A
σύνθετον, προτομὴν μὲν λέοντος, οὐρὰν δράκοντος, καὶ τρίτην κε-
φαλὴν μέσην αἰγὸς, δι' ἧς πῦρ ἀνίει. Ἀναβὰς οὖν ὁ Βελλερο-
φόντης ἐπὶ τὸν Πήγασον, ὃν εἶχεν ἵππον πτηνὸν, κατετόξευσε τὴν
Χίμαιραν. Μετὰ δὲ τὸν ἀγῶνα τοῦτον [q]Ἀμαζόσιν ἐπέταξεν ἀγω-
νίσασθαι, ὡς δὲ καὶ ταύτας ἀπέκτεινε, τοὺς τότε ῥώμῃ νεότητος B
διαφέροντας ἐπιλέξας, ἐπέταξεν ἀποκτεῖναι λοχήσαντας. Ὡς δὲ
καὶ τοῦτον ἐνίκησεν τὸν [r]ἀγῶνα, θαυμάσας τὴν δύναμιν αὐτοῦ ὁ
Ἰοβάτης, τό τε γράμμα ἔδειξε, καὶ παρ' αὐτῷ μένειν ἠξίωσε·
δοὺς δὲ αὐτῷ τὴν θυγατέρα, καὶ τὴν βασιλείαν τελευτῶν κατέλιπεν.

88 ΓΕΝΝΑΙΟΣ ΕἸ ἘΚ ΒΑΛΑΝΤΙΟΥ: Ἐπὶ τῶν διὰ τὸν πλοῦτον γεν- C
ναίων εἶναι δοκούντων.

89 ΓΑΛΗ̂Ν ἽΠΤΑΤΑΙ: [s]Ἡ πτῆσις τῆς γλαυκὸς νίκης σύμβολον
τοῖς Ἀθηναίοις ἐνομίζετο.

90 [t]ΓΈΡΩΝ ΑΛΏΠΗΞ ΟὐΚ ΑΛΙΣΚΕΤΑΙ: Ἐπὶ τῶν διὰ χρόνου πλῆ-
θος οὐχ ἁμαρτανόντων. D

91 [u]ΓΛΑΥΚΟΥ ΤΈΧΝΗ: [v]Ἡ ἐπὶ τῶν ῥᾳδίως κατεργαζομένων, ἢ ἐπὶ
τῶν πάνυ ἐπιμελῶς καὶ ἐντέχνως εἰργασμένων. [x]Ἵππασος γάρ
τις κατεσκεύασε χαλκοῦς τέτταρας δίσκους [y]οὕτως· τὰς [z]μὲν
διαμέτρους αὐτῶν ἴσας ὑπάρχειν, τὸ δὲ τοῦ πρώτου δίσκου πάχος

q Ἀμάζοσιν] Amazonas vicisse item et Solymos auctor Pindarus in Olympiis Εἰδ. ιγ'. Σὺν δ' ἱκείῳ καί ποτ' Ἀμαζονίδων αἰθέρος ψυχρᾶς ἀπὸ κόλπων ἐρήμου τοξόταν βάλλων γυναικεῖον στρατὸν, καὶ Χίμαιραν πῦρ πνέουσαν, καὶ Σολύμους ἔπεφνε. SCHOTT.

r ἀγῶνα] τὸν ἀγῶνα P. H.

s Ἡ πτῆσις] Apostolius vitiose, Ἡ νίκη τῆς γλαυκὸς, pro ἡ πτῆσις. De noctuis Plutarchus in Pericle, deque Atheniensium ritu Erasmus in adagio, *Atheniensium inconsulta temeritas*. Et, *Ululas Athenas*. SCHOTT. Vid. Schol. Aristoph. Eq. 1091.

t Γέρων ἀλώπηξ] Codex Vatic. Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται πάγῳ. SCHOTT.

u Γλαύκου τέχνη] Aliunde Suidas proverbii originem derivat a Glauco quodam Samio, qui primus ferrum conflare docuerit, quod Herodotus in Clio [c. 25.] Glauco Chio adscribit. Desiderius etiam Libyco cuidam, quem Hippasin Zenobius noster nominat, et δίσκους *cymbala* reddit. Corrupte rursum Apostolius cum negatione μὴ ῥᾳδίως; statimque lege, εἰρεσιδήρου κόλλησιν. SCHOTT. μὴ ῥᾳδίως item Schol. Platon. p. 12. Vid. Heindorf. ad Phæd. p. 225.

x Ἵππασις] Ἵππασος P. Schol. Plat.

y οὕτως] οὕτως ὥστε Schol. Plat.

z μὲν] μὲν εἶναι Schol. Plat.

ἐπίτριτον μὲν τοῦ δευτέρου, ἡμιόλιον δὲ τοῦ τρίτου, διπλάσιον δὲ A
τοῦ τετάρτου, [a]καὶ κρουομένους ἐπιτελεῖν συμφωνίαν τινά. Καὶ
λέγεται Γλαῦκον ἰδεῖν τοὺς ἐπὶ τῶν δίσκων φθόγγους πρῶτον.

92 [b]Γατκὲ [c]ἄγκών: Τὴν παροιμίαν φησὶν εἰρῆσθαι ἀπὸ τοῦ λε-
γομένου μακροῦ ἀγκῶνος ἐν τῷ [d]Νείλῳ· κατὰ ἀντίφρασιν, ἀντὶ
τοῦ δυσχερής. B

93 [e]Γαλῆι χιτώνιον: Ὁμοία ἡ παροιμία αὕτη τῇ, Οὐ πρέπει
γαλῆι κροκωτόν. Ἐπειδὴ γαλὴ κατὰ πρόνοιαν Ἀφροδίτης
γυνὴ γενομένη, ἐν χιτῶνι κροκωτῷ οὖσα ἐπέδραμε μυΐ. Μέμνηται
ταύτης Στράτις.

94 [f]Γραῖ [g]Ἔριφος: Ἀπολλόδωρος φησὶν ὅτι ἔστι τὶς παροιμιώ- C

[a] καὶ κρουομένους etc.] Schol. Plat. κρουομένους δὲ τούτους ἐπιτελεῖν (MS. Clark. κριομένους δὲ ἀποτελεῖν) συμφωνίαν τινα· καὶ λέγεται Γλαῦκον ἰδόντα τοὺς ἐπὶ τῶν δίσκων φθόγγους πρῶτον ἐγχειρῆσαι δι' αὐτῶν χειρουργεῖν. ubi plura.

[b] Γλυκὺς ἀγκών] Platonis in Phædro [p. 257 D.] hîc verba agnosco: et forte librarii vitio, φησὶν ὁ Πλάτων, prætermissum; vitioseque hîc antea editum ἐν τῷ Ἴλλῳ pro ἐν τῷ Νείλῳ, et Cognatus ridicule *in illo* vertit. Sic igitur Plato: Γλυκὺς ἀγκών, ὦ Φαῖδρε, λέληθέ σε, ὅτι ἀπὸ τοῦ μακροῦ ἀγκῶνος τοῦ κατὰ τὸν Νεῖλον ἐκλήθη; Suidas, ex eoque Apostolius, sed mutile, a Platone comico mutuatum proverbium credunt, qui senem inducit tibicinæ amore captum: Ὦ χρυσοῦν ἀνάθημα, ὦ τοῖσιν ἐμοῖσι τρυφεροῖς τρόποις, ὦ γλυκὺς ἀγκών. Qui etsi πῆχυν interpretentur, Græcam tamen *anconis* vocem retinui, ut πολύσημον, qua de Athenæus lib. XII. [p. 516.] (ubi Animadv. cap. 3. Casaub. [cap. 11. p. 358. ed. Schw.] legi etiam ait ἀγών.) Hesychius, Etymologici auctor, idemque Suidas; quæ collegit Erasmus, ut *Nili vortex, carcer sit tyrannorum*: quo modo apud Senecam rhetorem *Lautumias* pro *Latumiis* dixit Senianus [Sabinus] Controv. XXVII. [IX. 4.] et Varro lib. IV. De Ling. Lat. SCHOTT. Vid. Schol. Platonis p. 63. Eustath. Il. κ'. p. 791, 13. Adde Eustath. Il. π'. p. 1082, 29. Schol. Hom. Il. π'. 702. Heindorf. ad Platonis Phædr. p. 286.

[c] ἀγκὼν] ἀγγὼν H. ἀγγῶν F. Hinc explicatur var. lect. ἀγών. Mox ἀγγῶνος F.

[d] Νείλῳ] Ἴλλῳ H.

[e] Γαλῆ] Apologus de fele est in Æsopicis Maximi Planudis, et apud Chiliastem adag. Πίθηκος ὁ πίθηκος κἂν χρύσεα ἔχῃ σύμβολα. Κροκωτὸς vero vestis proprie muliebris, quæ et hodie Gallis *Cota*, Latinis *Crocota* sequiore genere Nonio Marcello: et κροκωτοφόρος Hercules apud Omphalem irridetur salse a Luciano de historia scribenda [c. 10.], et a Plutarcho, libro An seni gerenda Resp. [p. 785 E.] SCHOTT.

[f] Γραῦς Ἔριφος constanter Zenobii editiones Aldina et Haganoënsis, ac Basileensis, itemque Hesychius, atque ita Erasmus, eumque secutus auditor Cognatus, qui *anum hœdum* reddunt: sed e Suida Σ addendum observat (ne quem sua fraudem laude)

δης λεγομένη [g]Σεριφία γραῦς, ἡ ἐν παρθενίᾳ γεγηρακυῖα. Οἱ δὲ ἀπὸ τῆς ἀκρίδος· τὴν γὰρ [h]ἀρουραίαν ἀκρίδα, ὑπό τινων μάντιν λεγομένην, κατὰ Σικελίαν Γραῦν σέριφον καλεῖσθαι, ἢ Γραῦν σερίφην. [i]Λέγουσι δὲ, ὅτι [k]εἴ τινι ἐμβλέψειε ζῴῳ, κακόν τι ἐκείνῳ γίνεται. A

95 [l]Γυμνότερος λεβηρίδος: Ἀριστοφάνης φησὶ, Τυφλότερος λεβηρίδος. Λεβηρὶς δὲ ἐστὶ [m]τὸ σύφαρ καὶ ἔκδυμα τοῦ ὄφεως καὶ τοῦ τέττιγος. Κυρίως δὲ λεβηρὶς, ᾧ περιέχεται τὸ ἔμβρυον τοῦ βοὸς τελείως· ἔστι δὲ καὶ τοῦτο τυφλόν· τὰς γὰρ ὀπὰς μόνας ἔχει τῶν ὀφθαλμῶν. Τάττουσι δὲ τὴν λέξιν καὶ ἐπὶ τέττιγος, καὶ συνόλως ἐπὶ τῶν ἀποδυομένων τὸ γῆρας. [n]Τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν, καὶ οἱ μὲν, Τυφλότερος λεβηρίδος, οἱ δὲ [o]κενότερος, οἱ δὲ γυμνότερος. B C

eruditiss. Paulus Leopardus lib. V. Miscellan. cap. 21. qui plura e Plutarcho et Aristoph. interprete ibidem annotavit. De *rana* autem *Seriphia*, ut et de oculorum veneficio, atque fascinatione multi multa, qui hoc ævo *de Magia* diserte conscripserunt, ut tamen Martino Delrio nostræ societatis theologo nemo disertius. SCHOTT.

g Σεριφία] Ἐριφία P. F. Infra ἔριφον et ἐρίφην P. H. F.

h ἀρουραίαν ἀκρίδα] Vid. Schol. Theocriti X. 18.

i λέγουσι δὲ] Hoc dictum Aristarcho tribuit Scholiastes Theocriti.

k ἔν τινι] εἴ τινι P. H.

l Γυμνότερος λεβηρίδος] Vatican. cod. ita præfert: Λέγεται δὲ λεβηρὶς τὸ δέρμα τοῦ ὄφεως ἀπὸ τῆς λεπίδος. Ἔστι δὲ τὸ σύφαρ καὶ ἔνδυμα τοῦ ὄφεως καὶ τοῦ τέττιγος περὶ τὴν λεπίδα. Κυρίως δὲ λεβηρὶς ᾧ περιέρχεται τὸ ἔμβρυον τοῦ βοός. Ἔστι δὲ τοῦτο τυφλόν. Τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν, τυφλότερος, γυμνότερος, κενότερος. SCHOTT.

m τὸ σύφαρ] Pellem serpentis. Sic et Lycophron pro sene in Cassandra [793.] quem etiam locum laudat Etymologista: Σύφαρ θανεῖται πάντων φυγὼν σκέπας. Et Sophron in Mimis, quem totidem scatere adagiis quot versibus, auctor Demetrius Phalereus: Τὶ μὰν ξύσιλος, τὶ γὰρ σύφαρ ἀντ' ἀνδρός. Significat et σύφαρ, teste Hesychio, pelliculam quæ lacti superstat, τὸ ἐπὶ τοῦ γάλακτος τροφῶδες. Porro de serpentis exuvio Maro lib. III. Georg. post Lucretium lib. III. et IV. et Nicandrum in Theriacis: *Cum positis novus exuviis nitidusque juventa Volvitur, aut catulos tectis aut ova relinquens, Arduus ad solem et linguis micat ore trisulcis.* SCHOTT.

n Τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν] Quartam etiam addas licet parœmiam, quæ est apud Athenæum lib. VIII. [362 B.] Κενώτερος λεβηρίδος: nec male quidam καινότερος, quod illi νεώτερος respondet. Ad Athenæi illud pertinet Josephi in Antiquit. Judaic. de Pontificis zona: Ζώνη διακένως ὑφασμένη ὥστε λεβηρίδα δοκεῖν ὄφεως. Plura apud Hesychium. SCHOTT.

o νεώτερος] κενότερος P. H.

96 [p]Γραῦς βακχεύει: Ἐπὶ τῶν παρ' ὥραν τὶ διαπραττομένων. A Ταῖς γὰρ νέαις πρέπει τὸ χορεύειν.

97 [q]Γέρων βοῦς ἀπένθητος δόμοισιν: Ἐπὶ τῶν καθ' ὥραν τελευτησάντων.

98 Γυμνῇ φλακὴν ἐπιτάττεις: Παροιμία ἐπὶ τῶν μὴ δυναμένων [r]τὰ προστάγματα πληροῦν, διὰ τὸ ἀναγκαῖον αὐτὸ γίνεσθαι. B

99 [s]Γλῶσσα ποῖ πορεύῃ; πόλιν ὀρθώσοτσα καὶ [t]πόλιν καταστρέψοτσα: Ἐπὶ τῶν [u]διὰ λόγων ἢ ὠφελούντων ἢ βλαπτόντων.

100 [x]Γέλως στγκροτσιος: Ἄκοσμος καὶ ἄτακτος· παρ' ὅσον τινὲς γελῶντες τὰς χεῖρας ἢ τοὺς πόδας συγκρούουσιν. C

III. 1 [y]Γερόδρτον μεταφτετέειν: Ἐπὶ τοῦ ἀδυνάτου. Παρεγγυᾷ δὲ, ὅτι μὴ δεῖ τοὺς παρηβηκότας προάγειν εἰς τὰ τῶν ἀκμαζόντων ἔργα.

2 Γόντ κνήμης ἔγγιον: Ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον [z]τῶν ἑταί-

p Γραῦς] Affinia his *Anus saltat, hircissat,* item *cothonissat,* apud Erasmum. SCHOTT.

q Γέρων] Est et apud Diogenianum ac Suidam, nisi quod hic καθαρῶς pro καθ' ὥραν legisse videatur. SCHOTT.

r τὰ προστάγματα] Vatic. τὰ τεταγμένα. Adagii meminit et Suidas totidem pæne verbis. Hesychius ab utroque discrepat, loco tamen in Aldino depravato. Huic etiam attribuas licet, *Nudo custodiam apponere nihil necesse esse:* quo enim spolietur non habet. *Cantabit vacuus coram latrone viator,* ut ille ait. SCHOTT.

s Γλῶσσα] Salomon inter proverbia quoque retulit, *Mors et vita in manibus linguæ:* cap. 18. et B. Jacobus linguam clavo navis comparat cap. 3. quod cum his conferre licebit. Biantis quoque dictum extat apud Plutarch. lib. de audiendo [p. 38.], et de garrulitate [p. 503 F.] SCHOTT.

t πάλιν] πόλιν P.

u διὰ λόγων] διὰ λόγων P. διαλόγων H.

x Γέλως] Cachinnus vitio vertitur, et stultitiæ est argumentum, si nimius sit: quod Philostratus dixit, πλατὺ γελᾶν, et Synesius, πλατὺν γέλωτα. De *Sardonio risu* nos alibi, et multa Tzetzes in Hesiodum [Ἔργ. 59.] et de *Sarcasmo* ac *Mycterismo* Græci rhetores. SCHOTT.

y Γερόδρυον] hoc loco codex noster et γεράδρυον Apostolius nihili voces præferunt. Γεράνδρυον retineo e Suida et Diogeniano, quorum ille gemina habet; hic vero in eos dictum notat, quæ ætate provectis quid imperant. Seneca huc respexit Epist. LXXXVI. *Didici ab Ægialo diligentissimo patre-familias, quamvis vetus arbustum transferri posse.* Solatium ergo est senes etiam discere posse, ut Cato Græcas litteras sexagenarius, cum nulla sit ad discendum sera ætas. SCHOTT.

z Μετὰ τῶν ἑταίρων] Vaticanus

ρων ἀγαπώντων. Φασὶ γὰρ [a]ὅτι ἐν τῷ κατὰ Χαιρώνειαν πολέμῳ A
ἰδόντα τινὰ ἀνεψιὸν καὶ ἀδελφὸν καταπονουμένους, ὑπερασπίσαι
τὸν ἀδελφὸν, εἰπόντα τὸ προκείμενον.

3 [b]Γελλῶ παιδοφιλωτέρα: Ἐπὶ τῶν ἀώρως τελευτησάντων,
ἤτοι ἐπὶ τῶν φιλοτέκνων μὲν, τρυφῇ δὲ διαφθειρόντων αὐτά.
Γελλὼ γάρ τις ἦν παρθένος, καὶ ἐπειδὴ ἀώρως ἐτελεύτησε, φασὶν B
οἱ Λέσβιοι [c]αὐτῆς τὸ φάντασμα ἐπιφοιτᾶν ἐπὶ τὰ παιδία, καὶ
τοὺς τῶν ἀώρων θανάτους αὐτῇ ἀνατιθέασι. Μέμνηται ταύτης
[d]Σαπφώ.

4 [e]Γηράσκω δὲ ἀεὶ πολλὰ διδασκόμενος: Ἐπὶ τῶν διὰ τὸ
γῆρας ἐμπειροτέρων. Εἴλκυσται μέντοι ἐκ τῶν Σόλωνος ἐλεγείων. C

5 [f]Γραῶν ἦθος: Ἐπὶ τῶν μάτην ληρούντων.

6 [g]Γλαῦξ εἰς Ἀθήνας: Ἐπὶ τῶν ἀχρήστους ἐμπορίας ἀγόν-
των, ἐπειδὴ τὸ [h]ζῶον πάνυ ἐπιχωριάζει τοῖς Ἀθηναίοις.

ἑτέρων, et ita Suidas. Mox pro φασὶ γὰρ οἱ ἐνωτοὶ κατὰ χρείαν, recte præfert idem MS. φασὶ γὰρ οἱ ἐν τῷ κατὰ χαιρώνειαν πολέμῳ. Adagium vero Plautus effinxit in Trinummo: *Tunica pallio propior.* Cicero Epist. XXIII. ad Tironem, et antea Aristoteles lib. IX. Ethicorum [c. 8.] similia congerens adagia. Theocritus quoque Idyllio Charites [18.] Ἀλλ' εἰθὺς μυθεῖται, ἀπωτέρω ἢ γόνυ κνάμα. SCHOTT.

[a] οἱ ἐνωτοὶ κατὰ χρείαν] Reposui ὅτι ἐν τῷ κατὰ Χαιρώνειαν ex vestigiis veteris scripturæ et codd. Vat. Bodl. Mox ἰδόντα pro ἰδόντες e cod. Bod.

[b] Γελλῶ] Γελλοῦς Suidas, qui et παιδοφιλωτέρα non παιδοφιλοτέρα.

[c] αὐτοῖς] αὐτῆς P.

[d] Σαπφώ] Vide Nevii fr. CXXII. p. 96.

[e] Γηράσκω] Soloni tribuit et Cicero in Catone Majore, et Plato lib. VII. de Repub. [p. 536 D.] et in Lachete [188 B.] Plutarchus in vita [p. 96 E.], et Valer. Maximus lib. VIII. cap. 7. addit, eum assidentibus supremo vitæ die amicis, et quadam de re sermonem inter se conferentibus, fatis pressum caput erexisse, interrogatumque quare id faceret, respondisse: *Ut cum istud, quidquid est, de quo disputatis, percepero, moriar.* SCHOTT. Vid. Schol. Platon. p. 86.

[f] Γραῶν ἦθος] Huc pertinet illud Suidæ in διωλύγιον, e vetere aliquo scriptore: Ταῦτα οὐ διωλύγιος φλυαρία δόξειεν ἂν εἶναι, καὶ δικαίως οὐ κατὰ γραῶν ἦθον λεγόμενον, ἀλλὰ πέρα τοῦ μεγίστου φληνάφου. Clemens in Protrept. Γραϊκὸν ἦθον dixit. SCHOTT. Vid. Heindorf. ad Platon. Gorg. p. 276.

[g] Γλαῦξ] Cic. Torquato et Q. Fratri. Aristoph. in Avib. [302.] (ubi Ἀθήναζε legit. Eustath. in α'. Ἰλ.) Τί φής; τὶς γλαῦκ' Ἀθήναζ' ἤγαγε; Usurpat et Lucianus, et explicat Epist. ad Nigrinum, init. Vide sup. Cent. 2. adag. 89. SCHOTT.

[h] ζῶον τοῦτο] τοῦτο om. P. H. F. Mox ἐπιχωριάζειν H.

7 [i]Δαιδάλεια ποιήματα: Οἱ μὲν ἐπὶ τῶν παραδόξων ἔργων, οἱ δὲ A
ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας φασὶν εἰρῆσθαι τὴν παροιμίαν· ἐπειδὴ τῶν παλαιῶν δημιουργῶν πλαττόντων τὰ ζῶα τυφλὰ, ὁ Δαίδαλος καὶ τοὺς ὀφθαλμοὺς αὐτοῖς ἀνεπέτασεν, ὡς καὶ δόξαν κατασχεῖν ὅτι καὶ ἔμψυχά ἐστι, καὶ κινοῦνται, καὶ φθέγγονται. Φασὶ γοῦν τινὰ τῶν δαιδαλουργῶν ἀνδριάντων δεδέσθαι τοῦ ποδὸς, ὡς μὴ ἀποδράσοι. B

8 [k]Διομήδειος ἀνάγκη: [l]Ἐπὶ τῶν κατὰ ἀνάγκην τὶ πραττόντων. Μέμνηται αὐτῆς Ἀριστοφάνης [l]ἐν Βατράχοις. [m]Ὅτε γὰρ λαβόντες τὸ Παλλάδιον Διομήδης καὶ [l]Ὀδυσσεὺς ἐκόμιζον ἐπὶ τὰς ναῦς, τότε βουλόμενος [l]Ὀδυσσεὺς αὐτοῦ μόνου τὴν φιλοτιμίαν γενέσθαι, ἐπεχείρησε φονεῦσαι τὸν Διομήδην μετὰ τοῦ Παλλα- C
δίου προηγούμενον. Προϊδὼν δὲ ἐκεῖνος ὡς ἐν κατόπτρῳ ἀντιστίλβον τὸ ξίφος, καὶ συλλαβὼν αὐτὸν, καὶ δήσας τὰς χεῖρας, πλάτει τοῦ ξίφους ἀκολουθῶν ἔτυπτεν.

9 [m]Δεινῆς ἀνάγκης οὐδὲν ἰσχυρότερον: Ἀνάγκη γὰρ καὶ

[i] Δαιδάλεια] Meminit proverbii Plato in Hippia [282 A.] et in Minoë [p. 97 D.] Aristoteles lib. I. Politicorum [c. 4.] et I. de Anima [c. 3.] Homerus quoque δαίδαλα vocat artificiosa [Il. ε'. 60.] ὃς χερσὶν ἐπίστατο δαίδαλα πάντα Τεύχειν. Et Maro *Dædalam Circen* lib. VII. Æneid. ver. 282. Platonis vero comici hæc citat Io. Tzetzes Chil. I. Hist. 19. Τὰ δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ, Βλέπει τ' ἀγάλματα. A quo et Euripidis in Hecuba hic locus laudatur [v. 836.] Εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι, Καὶ χερσὶ, καὶ κόμαισι, καὶ ποδῶν βάσει, Ἡ Δαιδάλου τέχναισιν, ἢ θεῶν τινος. SCHOTT. Vid. Schol. Platon. p. 132.

[k] Διομήδειος] Suidas ab altero etiam Diomede derivasse quosdam auctor est, qui Thraciæ tyrannus hospites equis objiceret, hoc est, filiabus deformibus constuprandis; unde poëtarum fabulæ de *Diomedis equis* homines vorantibus. De hoc vero Diomede et Ulysse Palladii raptoribus idem commemorat Conon Narratione 34. in Photii nostri Bibliotheca pag. 228. Adagii meminit in Concionatricibus Aristophanes [v. 1021.] et ibi vetus interpres, enarrans de Diomede Thracio, Plato item lib. VI. Polit. [p. 493 D.] SCHOTT. Similia Schol. Platon. p. 170. Conf. Eustath. Il. κ'. p. 822, 20.

[l] ἐν Βατράχοις] Eccles. 1021.

[m] Δεινῆς ἀνάγκης] Sumtum ex Euripidis Helena [520.] proverbium: Λόγος γάρ ἐστιν οὐκ ἐμὸς, σοφῶν δ' ἔπος, Δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον. Platonis vero locus est lib. V. De Legibus, [p. 741 A.] qui e Vatican. cod. hîc ita restituendus: Καὶ Πλάτων, ἀνάγκην δὲ οὐδὲ θεὸς δυνατός ἐστι βιάζεσθαι. Idemque Plato alias non semel adhibet libro De Leg. VII. [818 B.] et in Symposio [197 B.] Vide supra Centuria I. adag. 85. Ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται. SCHOTT.

θεοὺς βιάζεται. Καὶ Πλάτων φησὶν, "ἀνάγκην δὲ οὐδὲ [n]θεός ἐστι A
δυνατὸς βιάζεσθαι."

10 [o]ΔΑΤΥΛΟΥ ΗΜΕΡΑ: Ἐπὶ τῶν εὐημερούντων. Δάτυλος γάρ τις ἀνὴρ γέγονεν Ἀθηναῖος, μεγίστων λαχὼν τιμῶν.

11 [p]ΔΑΤΟΣ ΑΓΑΘΩΝ: Πόλεως ὄνομα ἦν ἀπῴκησαν Θάσιοι. Ἐφ' ᾗ καὶ παροιμία ἐλέχθη, Δάτος ἀγαθῶν, [pp]ὡς οὔσης καλλίστης· B
ἔστι δὲ καὶ χρύσεα μέταλλα, καὶ ἔστιν εὐδαίμων.

12 ΔΑΦΝΙΝΗΝ ΦΟΡΕΙ ΒΑΚΤΗΡΙΑΝ: Τοῦτο λέγειν εἰώθασιν οἱ ὑπό τινων ἐπιβουλευόμενοι· παρ' ὅσον ἀλεξιφάρμακον [q]ἡ δάφνη.

13 [r]Δι' ὀξείας ΑΡΑΜΕΙΝ: Ἐπὶ τῶν διακινδυνευόντων. Ὀξεῖαν γὰρ λέγουσι τὴν λόγχην. C

n θεοὺς—δυνατοὺς] θεὸς—δυνατὸς ex B.

o Δατύλου] Δακτύλου cum κ constanter in Diogeniano et Suida totidem quot in Zenobio verbis effertur, viditque typographorum στέφανος in Anacreonteis Scholiis, et ante illum Hadr. Junius Cent. IX. Adagiorum, respexisse ad Alexidis [Alcæi] versus: Πίνωμεν· τί τὸν λύχνον σβέννυμεν; δάκτυλος ἡμέρα. Ubi meo quidem sensu vita digito comparatur, qui pæne cum grano mensuræ principium efficit. Ἄθηλος quidam lib. VII. Antholog. sic ex Alcæo claudit Epigramma 189. Πίνωμεν Βάκχου ζωρὸν πέμα, δάκτυλος ἀώς· Ἢ πάλι κοιμιστὴν λύχνον ἰδεῖν μένομεν. Quod ita reddimus: *Pocula libemus Bacchi: nam dactylus ætas: Lumina num rursum extincta videre juvat.* Plura doctissimus Isaacus Casaubonus Animadversionum ad Athenæum libro XI. cap. 8. Nec abludit quod Diogenianus habet Σπιθαμὴ τοῦ βίου. Ibi vide. SCHOTT. Δατύλου — Δάτυλος] Δακτύλου et Δάκτυλος B. Vid. notata ad Hesych. v. Δατύλλου.

p Δάτος] Suspecta de mendo scriptura est. Erasmus Δάθος Thasiorum coloniam juxta Strymonem rescribit. At Varronianum illud adhibebo: *Cras credam, hodie nihil.* In prima enim littera peccatum esse non in altera syllaba vel ipse Zenobius ac Suidas evincent, qui infra Θάσος ἀγαθῶν, et eodem prope modo enarrant, unde *Thasii* dici potuerunt. Stephanus quidem Datum Thraciæ opidum tribuit, cujus tamen incolæ *Datenii* gentiles sint, non *Thasii*. *Thassus* quoque eidem Thraciæ insula. Celebrantur et ab Athenæo lib. II. et VII. Θάσιον βάμμα, et Θάσιαι βαφανίδες. Et a Suida Θάσιος οἶνος. SCHOTT. Vid. Excerpta ex Strabon. VII. p. 481=510.

pp ὡς οὔσης καλλίστης] Scribe e Vaticano: Ὡς ἐχούσης αὐτῆς χρύσεα μέταλλα καὶ εὐδαιμονίαν ἄλλην· τάττεται δὲ ἐπὶ τῶν μεγάλα ἀγαθὰ ἐπαγγελλομένων. SCHOTT.

q ἡ δάφνη] Tiberius Cæsar, teste Tranquillo cap. 69. numquam non coronam lauream cervice gestavit, quod fulmine afflari negetur id genus frondis. Vide Plinium lib. XV. cap. 30. et Tzetzem in Lycophronem initio. SCHOTT.

r Δι' ὀξείας] Depravatum et hoc, editumque antea διώξεις pro δι'

14 [s]Δαταΐαν κορώνην: Ἀντὶ τοῦ ἀηδόνα. Δαυλία δὲ ἐλέχθη A διὰ τὸ τὰ περὶ τὸν Τηρέα ἐν [t]Δαυλίᾳ τῆς Φωκίδος συστῆναι· οἱ δὲ, ὅτι περὶ τὴν Δαυλίαν καταλαμβανόμεναι αἱ περὶ τὴν Πρόκνην, μετέβαλον εἰς ὄρνιθας· ἔνιοι δὲ τὴν δασεῖαν ἀκούουσι· δαυλὸν γάρ ἐστι τὸ δασύ. Τὰ δὲ περὶ τὸν Τηρέα καὶ τὴν Πρόκνην οὕτως ἔχει· Πανδίων θυγατέρας ἐσχηκὼς δύο, Πρόκνην B καὶ Φιλομήλαν, ἠγάγετο νυμφίον ἐπὶ τῇ Πρόκνῃ τὸν Τηρέα· ὁ δὲ τῆς Φιλομήλας ἐρασθεὶς, καὶ βιασάμενος αὐτὴν, ἵνα μή τινι τὸ γεγονὸς ἐξείπῃ, τὴν γλῶτταν αὐτῆς ἀπέτεμεν. [u]Ἐκείνη δὲ πέπλῳ ὑφάνασα γράμματα, διὰ τούτων ἐμήνυσε Πρόκνῃ τὰς ἰδίας συμφοράς. Μαθοῦσα τοίνυν ἡ Πρόκνη τὰ συμβάντα τῇ Φιλομήλᾳ, C [v]ἵτυν ἀπέκτεινεν, ὃν εἶχε παῖδα ἐκ Τηρέως, καὶ αὐτῷ παρατίθησι τὰ τοῦ παιδὸς μέλη εἰς βρῶσιν. Γνοὺς δὲ τὸ γεγονὸς ὁ Τηρεὺς, Πρόκνην καὶ Φιλομήλαν ἀπ' αὐτοῦ φευγούσας ἐδίωκεν. Αἱ δὲ καταλαμβανόμεναι, ηὔξαντο ἀφανεῖς γενέσθαι, καὶ μετεβλήθησαν, Πρόκνη μὲν εἰς ἀηδόνα, Φιλομήλα δὲ εἰς χελιδόνα. [w]Ὅθεν ἔτι D

ἀξείας δραμεῖν. Et mox τὸν λόγον, pro τὴν λόγχην operarum vitio legebatur. SCHOTT. διώξειε et τὸν λόγον P. H. F. vid. B. 325.

[s] Δαυλίαν] Emendandus hinc Hesychius mutilus, legendumque: Δαυλίαν κορώνην, ἀντὶ τοῦ ἀηδόνα. Vulgo enim ἀντὶ τοῦ δᾶνα legitur depravate. Erasmus adagium esse negat, hoc nomine, quod poëtica sit narratio. Atqui plura id genus esse non animadvertit, ut supra in adag. *Bellerophontes litteras*, de *Sphinge*, de *Amaltheæ cornu*, de *Adrastea Nemesi*; nec vidit, qui Zenobium studiose ut fabulas colligentem reprehendit, (quo in genere et Apostolius multus est e Palæphati ἀπίστοις talia fere describens,) se hoc nomine in doctorum reprehensionem merito incurrere, quod γνώμας Symbolaque omnia Pythagoreorum in adagiorum censum retulerit, quo major millium numerus evaderet: quod et M. Antonium Muretum Variis Lectionibus admonere memini. Usus autem adagii hujus esse queat, ut per periphrasim Luscinia nominetur, notenturque casus pœnæ ac vindictæ adulterii, quo modo *Adrastea Nemesis* pro divina vindicta, et id genus complura adhibentur. Ceterum non in Phocide, sed ad Megaram contigisse hæc refert Thucydides, quæ et Ovidius lib. VI. Metamorph. decantat, et ad Aristophanem interpres, ac Pausanias, nisi quod Philomelam in sui nominis avem mutatam lusciniam, Procnen in hirundinem referant. Sed quis veritatem in fabulis quærat? Ityn quoque Itylum Homerus et Catullus nominant. Plura suppeditat Lævinus Torrentius noster ad Odam 12. lib. IV. Carminum Horatii. SCHOTT.

[t] Δαυλίδι τῆς Φωκίδος] Vid. Apollodor. III. 14, 8. unde reponendum Δαυλίᾳ.

καὶ νῦν αἱ χελιδόνες τετμημένας τὰς γλώσσας ἔχουσι· Τηρεὺς δὲ εἰς ἔποπα μεταβληθεὶς, Ἴτυν εἰς δεῦρο θρηνεῖ. A

15 [u]Δεττέρων ἀμεινόνων: Παροιμία ἐπὶ τῶν θυομένων ἐκ δευτέρου, ὅταν αὐτοῖς τὰ πρότερον ἱερὰ μὴ καυθῇ, καὶ ἐπὶ δεύτερα τραπῶσιν.

16 [v]Δικαιότερον σταχάνης: Ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων. B Σταχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσιν, ἴσως παρὰ τὴν στάσιν.

17 Δικτύοι ἄνεμον θηρᾶις: Ἐπὶ τῶν μάτην καὶ ἀνυήτως τὶ ποιούντων.

18 [x]Διὰ δακτυλίοι δεῖ σε [y]εἰσελκυσθῆναι: Ἐπὶ τῶν διὰ C νόσον ἢ λύπην λεπτῶν καὶ ἰσχνῶν γινομένων.

19 [z]Διὰ μαχαιρῶν καὶ πυρὸς [1]ῥίπτειν δεῖ: Ἐπὶ τῶν παραβαλλομένων καὶ ῥιψοκίνδυνα ποιούντων.

[u] Δεττέρων] Affine proverbium Euripideo illi in Hippolyto Coronato [436] Αἱ δεύτεραι πῶς φρονοῦσι σοφώτεραι. Quod etiam Cicero in Philippicis, et Epist. 3. lib. I. ad Q. Fratrem adhibuit, miscetque Erasmus adagio, *Posteriora melioribus*, allatis Platonis libro de Legibus IV. [p. 723 D.] et Aristot. lib. I. [c. 2.] Metaphysicorum locis. Nostrum vero explanat Hesychius in Lexico. SCHOTT. Vid. Schol. Platon. p. 226.

[v] Δικαιότερον στ.] Jurisconsulti *æqua lance servare*, ut Modestinus lib. Pandect. XLII. Tit. de re judicata, et *una eademque lance trutinare*, ut Justinianus lib. V. Cod. Tit. de naturalibus liberis. *Stateram* quoque ac *trutinam* M. Tullius ac Vitruvius conjungunt. *Trutina* vero Latinorum, quæ hîc vitiose τρυτάνη pro τρυτάνη legebatur, sic ad Sat. 1. Persii exponit Cornutus, ut sit foramen, intra quod est lingua bilancis, ad quod est *examinatio*: quod aliis *æquamentum*, aliis *libramentum*, aliis *æquilibrium* vocatur. SCHOTT.

[x] Διὰ δακτυλίου] Aristophanis est in Pluto [v. 1037.] Διὰ δακτυλίου μὲν οὖν ἔμε γ' ἂν διελκύσαις. Duratque hodie apud nostrates proverbium, ad ea quæ e Plinio Desiderius collegit, ut exilia corpuscula per annulum trahi posse dicamus, quales sunt graciles Gallorum virgines, quæ ut in Eunucho Chærea ait, *curatura junceæ sunt, et vincto corpore ut graciles fiant.* Græci quoque λαγαρὸς ἀπὸ τῶν λαγόνων, a *macie et exilitate lumborum* dixerunt, ut Plautus in Menæchmis, *Formicinum puellarum gradum.* Et Synesius in Epistolis, Ὑπὲρ τοὺς μύρμηκας ἔντομον, ut Cent. 2. Adagiorum observat Junius. SCHOTT.

[y] εἰσελκυσθῆναι] ἑλκυσθῆναι Diogen. IV. 30.

[z] Διὰ μαχαιρῶν] Simile Aristophanicum in Lysistrata [133.] κἂν με χρὴ διὰ τοῦ πυρὸς Ἐθέλω βαδίζειν. Plutarchus ex Eupolide libello, An Principi cum Philo-

20 Δίκην τρέφει κἂν ὄνος ἀλκὴ κύνα: Ἐπὶ τῶν [a]ἐπὶ μι- A
κροῖς συκοφαντουμένων.

21 [b]Διὸς Κόρινθος: Παροιμία ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων καὶ
πραττόντων.

22 [c]Δέχεται καὶ βῶλον ἀλήτης: Ἐπὶ τῶν πάντα πρὸς τὸ
κρεῖττον ἐκδεχομένων. Ἀλήτην γὰρ φασὶ φεύγοντα κατελθεῖν B
βουλόμενον εἰς Κόρινθον, καὶ βουκόλου τινὸς ἀπαντήσαντος αἰτῆ-
σαι τροφήν· οὐκ ἔχειν δὲ φάσκοντος ἐκείνου, ἄραντος δὲ βῶλον,
δοῦναι αὐτῷ· τὸν δὲ λαβόντα φάναι,

Δέχεται καὶ βῶλον ἀλήτης.

23 [d]Διπλοῦς ἄνδρας: Τὰ δισύλλαβα ἀνδρῶν ὀνόμαια. [e]Ὅθεν C
ἐπίγραμμα,

sopho agendum, et De discrimine adulatoris et amici, de adulatoribus sic ait: Ὅτι οὐ πῦρ, οὐ σίδηρος, οὐδὲ χαλκὸς εἴργει μὴ φοιτᾶν ἐπὶ δεῖπνον. Tale et Flacci illud de mercatore: *Per mare pauperiem fugiens, per saxa, per ignes.* Et Comici: *E flamma cibum petere.* Item Catulli, *rapere de rogo cenam.* Quod de feralibus cenis recte explicat Jo. Kirchmannus, libro IV. De funeribus Rom. cap. 5. SCHOTT. Vid. Wyttenbach. ad Plutarch. II. p. 50 D.

[a] ἐπὶ μικρὰ] Suid. rectius, Ἐπὶ μικροῖς. SCHOTT. Et sic B. 326.

[b] Διὸς Κόρινθος] Pindaricum est proverbium in Nemeis, et ibi Scholiastes originem commemorat, refertque ea quæ proxime Zenobius de Alete. Aristophanes quoque in Concionatricibus [823] Philostratus in Antipatro, et in Euthydemo Plato [p. 292 E.] Dictum apparet, quod pro concione frequenter nimis ac putide ad nauseam usque illud ingeminaretur, *Corinthus Jovis filius.* Unde et in eadem identidem ad fastidium repetentes torquetur. SCHOTT. Vid. Schol. Platon. p. 96. Heindorf. ad Euthyd. p. 369.

[c] Δέχεται] Historia est apud Pausaniam in Corinthiacis [c. 4.] Suidam, Apostolium, et Pindari interpretem in Nemeis extremo, ut jam admonui. Similem habet Plutarchus in Problematibus [p. 294 A.] recitatque Erasmus. SCHOTT.

[d] Διπλοῦς] Opinor pro ἀνδρῶν, ἀνδραπόδων scripsisse Zenobium, etsi eodem modo Hesychius. Mancipia enim ac servi vafro fere ac duplici ingenio, fures quoque habiti, ad quos refert Maronis illud Servius: *Quid domini facient, audent cum talia fures?* Et *trium litterarum homo* furax servus dictus Plauto in Aulularia. Vide prov. *Omnis servus hero monosyllabus;* et Casaubon. in Animadv. lib. II. cap. 1. Huc pertinet et Sallustianum illud: *Aliud ore, aliud pectore promtum gerere.* Homeri loca, quæ huc faciant, Erasmus [III. 1, 12.] attulit, ex quo poëta Iliad. IX. de Ulysse duplice (ut vocat Flaccus libro I.

Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα, A
χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

24 Δὶς ἑπτὰ πληγαῖς [f]ποτάτποτε πιλοτμένος: Ἐπὶ τῶν κολάσεως ἀξίων. Παρ' ὅσον ὁ πολύπους θηρευθεὶς τύπτεται πολλάκις, πρὸς τὸ πίων γενέσθαι.

25 [g]Δίχολοι γνῶμαι: Παρὰ τὸ [h]διχῇ ἰδιότροποι, κατὰ μετάληψιν. Χόλος γὰρ ἡ ὀργὴ, ὀργὴ δὲ τρόπος. Βακχυλίδης, B

Ὀργαὶ μὲν ἀνθρώπων διακεκριμέναι μυρίαι.

26 [i]Δόρτ καὶ κηρτκιον: Παροιμία, ἣν ἔνιοι [k]πειθανάγκην λέ-

Od. 6.) Plato etiam in Hippia hoc laudat: Ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ. SCHOTT.

[e] Ὅθεν—τρόποις om. P. H. Et fortasse huc intulit ed. F. ex Anthol. (Pal. X. 95.) Vid. Jacobsii Anim. T. I. par. 3. p. 247.

[f] πολύπους] πουλύπους Erasmus II. 5, 99. Vid. Athenæus VII. p. 316.

[g] Δίχολοι] Erasmus corrigendum censuit δίσχωλοι per ω, redditque cum Cognato, *utroque claudicantes sententiæ*, et exponit de hominibus lubricæ fidei et incertarum partium. Verum Henr. Stephano non probat, propterea quod subjungat Zenobius, παρὰ τὸ διχῇ ἰδιότροποι κατὰ μετάληψιν. Nodus itaque nondum sic expeditur. Ego vulgatam retineo; nam Hesychius δίχολοι, διάφοροι exponit: et de *duplicis sententiæ* viris accipio, ut paulo ante dictum est. SCHOTT. δισχο^λ H.

[h] διχῇ ἰδιότροποι] Hesychius δίχα, ἢ δίτροποι. Apostolius VII. 81. οἱονεὶ δίτροποι, cum Diogen. IV. 32.

[i] Δόρυ] Vitiosus hic locus ac mutilus, rescribendumque vidit Joan. Hartungus, homo doctissimus, Decuria secunda πειθανάγκην τῶν Ἀθηναίων λέγουσιν, ex Hesychii Lexico. Qua etiam voce utitur M. Tullius lib. IX. ad Atticum Epist. 13. *Ego non tam* γοητείαν *hujus timeo, quam* πειθανάγκην. Αἱ γὰρ τῶν τυράννων δεήσεις, *inquit Plato*, οἶσθ' ὅτι μεμιγμέναι ἀνάγκαις εἰσίν. Utitur et simili Θετταλικὴ πειθανάγκη Julianus Παραβάτης: et πειθὼ ἀναγκαία Dion Chrysostomus, ut vidit ad Erasmum H. Stephanus adag. *Armatæ preces.* Mox quoque e Suida παρακαλούντων reponendum, et supplendum, sic enim ille: Ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων, hoc est, qui simul vel pacem offerunt vel bellum minantur. Depravate quoque Apostolius δορύκειον pro δόρυ κηρύκειον: quo modo sine copula Suidas extulit, *Caduceum una cum hasta.* Nam Eustathius in Ιλ. ζ. [γ'. p. 408.] et Hesychius, ut noster, cum conjunctione. Huc autem pertinet B. Hieronymi locus Epist. ad Luciferianos: *Tu pacem cum scuto petis, et nos olivæ ramum gladio inserimus.* De quo altero supplicandi modo nos pluribus ad Procli Chrestomathiam. Respexisse vero B. Hieronymus ad alterum illud apud Suidam proverbium videatur: Ἐν μύρτου κλάδῳ τὸ ξίφος κρατήσω. SCHOTT.

[k] πειθανάγκην] τιθανάην P. H. edd. vett. Emendatum est ex Hesychio.

γουσιν. Εἴρηται δὲ ἐπὶ τῶν ἅμα [l]παρακαλούντων καὶ ἀπειλούν- A
των, ἀπὸ τοῦ δόρυ κατέχειν καὶ κηρύκιον.

27 [m]Δραχμὴ χαλαζῶσα: Ἐπὶ τῶν Διοφάντου τὸ θεωρικὸν ἐγέ-
νετο δραχμή. Ἐπεὶ δὲ ἔπεσε χάλαζα τότε ἀπὸ τοῦ ἀέρος, χα-
λαζῶσαν αὐτὴν ἐπέσκωπτον.

28 Δίκη δίκην ἔτικτε, καὶ [n]βλάβην βλάβη: Ἐπὶ τῶν φιλο- B
δίκων καὶ συνειρόντων δίκας δίκαις.

29 [o]Δὶς πρὸς τὸν αὐτὸν λίσχρον προσκρούειν λίθον: Ἐπὶ
τῶν δεύτερον τοῖς αὐτοῖς περιπιπτόντων.

30 Δελφῖνα νήχεσθαι διδάσκειν: Ἐπὶ τῶν ἐν ἐκείνοις τινὰ
παιδοτριβούντων, ἐν οἷς ἤσκηνται. C

31 [p]Δέδοται καὶ κακοῖς ἄγρα: Ἐπὶ τῶν παρ' ἀξίαν εὖ πραττόντων.

[l] παρακολουθούντων] Item ex Hesychio, παρακαλούντων καὶ ἀπειλούντων.

[m] Δραχμὴ] Fugit hîc Erasmum ratio, ut etiam vidit Henr. Stephanus. Non enim Zenobius ait ipsam grandinem appellatam *drachmam grandinantem*, ut ipse autumat, sed vice versa *drachmam* vocatam fuisse *grandinantem*, quod forte fortuna, dum ea in theatro distribueretur, grando e cælo cecidisset. Neque θεωρικὸν præmium theatrale, ut vult, drachma fuit, sed quod stipe collata in theatra ac spectacula conferebatur, ut e Libanii argumento in Olymthiacam primam discas. Hîc etiam τῶν articulum obelo fodimus. Edebatur enim ἐπὶ τῶν Διοφ. quo modo et Hesychius habet. Et in Suida ἐπέσχε pro ἔπεσε, item χαλαζῶν pro χαλαζῶσαν vitiose edi hinc observo. *Diophanti* autem Athenis prætoris meminit Diod. Siculus lib. XIV. Bibliothecæ, Olymp. 96. anno 2. Nominat et *Diophantum* Atheniensem cum Lamia lib. XVI. [48.] Ἐσχηκὼς γὰρ τοὺς τότε στρατηγοὺς ἐπιφανεῖς ἄνδρας καὶ διαφέροντας ἀρετῇ τε καὶ ἀγχινοίᾳ στρατηγικῇ Διόφαντον τὸν Ἀθηναῖον καὶ Λάμιον τὸν Σπαρτιάτην. SCHOTT. Ἐπὶ τῶν Διοφ. H. F.

[n] βλάβην βλάβη] βλάβη βλάβην H.

[o] Δὶς πρὸς] Nota tralatio ambulantium. Constabit senarius si εἰσκρούειν cum Erasmo legeris, ut in iambis Nazianzen. Δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ. Cicero lib. X. ep. 20. ad Fam. et 1. Offic. *Fortis viri esse tumultuantem de gradu non dejici, nec committere aliquid, ut aliquando dicendum sit, Non putaram.* Qua de voce Iphicratis et P. Scipionis disseruit Petrus Victorius libro V. Variarum lectionum, cap. 19. explicans illud e Polybio, Οὐκ ἂν φόμην, et amplius Bernardus Martini lib. II. Variar. cap. 13. SCHOTT.

[p] Δέδοται] Notum proverbium, simile illi, *Latere aliquando sub sordido pallio sapientiam.* Et: *Olitorem oportuna aliquando locu-*

32 [q]Δειλότερος εἰ τοῦ παρακύπτοντος: Ἐπὶ τῶν σφόδρα A
δειλῶν. Ἀνὴρ γάρ τις οὕτως ἐγένετο δειλὸς, ὥστε διὰ φόβον
Ἡρακλέους κατέδυ εἰς σπήλαιον, καὶ διὰ δειλίαν ἀπέθανε. Παρα-
κύψας γὰρ ἐκ τοῦ σπηλαίου, καὶ ἰδὼν τὸν Ἡρακλέα, ἀπελιθώθη,
καὶ διέμεινεν ἔτι καὶ νῦν ὁ λίθος ἀνθρωποειδὴς, τὴν κεφαλὴν ὑπερ-
έχων τοῦ σπηλαίου. B

33 [r]Δὶς καὶ τρὶς τὸ καλόν: Οὕτω χρὴ περὶ τῶν καλῶν πολλά-
κις λέγειν.

34 [s]Διωλύγιον κακόν: Ἐπὶ τῶν μέγα καὶ δεινὸν ὑφισταμένων.
Διωλύγιον γάρ ἐστι τὸ μέγα καὶ πολὺ διῆκον.

Οὕτως [t]οὐ μακρὰ καὶ διωλύγιος φλυαρία· C

Πλάτων.

35 [u]Δειλὸν ὁ Πλοῦτος: Παρ' ὅσον οἱ πλούσιοι τὰς οἰκίας

tum. Et: *In seditione vel Androcles ducem agit.* Trochaici initium concinnat Desiderius: Δέδοτο καὶ κακοῖσιν ἄγρα. SCHOTT.

[q] Δειλότερος] Habent eamdem fabulam Suidas et Apostolius, et innuit Ovidius lib. IX. Metamorph. de Licha ab Hercule in mare præcipitato, et in scopulum converso. SCHOTT.

[r] Δὶς καὶ τρὶς] Usurpat sæpe Plato in Philebo [p. 59 E.] Gorgia [p. 498 E.] et VII. de Legibus [p. 956 E.] eumque laudans Lucianus in Dipsadibus [ult.] Κόρος, inquit, οὐδεὶς τῶν καλῶν. *Rerum honestarum nulla satietas.* Nam pulcra, ut de poësi Flaccus canit, *si propius stes Te capient magis, ac decies repetita placebunt.* Et Maro: *Nec vidisse semel satis est, juvat usque morari.* SCHOTT. Vid. Schol. Platon. p. 124.

[s] Διωλύγιον] Repetitur adagium infra Cent. V. num. 55. Hesychius διωλύγιον explicat μέγα καὶ σφοδρὸν διατεταμένον, *longe lateque se extendens.* Etymologista: Διωλύγια πράγματα τὰ μεγάλα καὶ χαλεπά. Quo modo et e Lysia Valerius Harpocration, laudatque Platonem, cujus in Theæteto locus est, [p. 162 A.] Chrysostomus Orat. II. contra Judæos sic ad vocem alludit, μέγα διωλύγιον ὀλολύξαντες. Et Philoni διωλύγιος ὕπνος. SCHOTT.

[t] ἡ μακρὰ] οὐ μακρὰ P. H. F.

[u] Δειλὸς] Divitias formidulosos reddere, nota nimis res vel e Plauti Aulularia, et Luciani Mycillo [Somnio] itemque Aristophane in Pluto, qui et cæcum facit, ubi ejus interpres ex Euripide desumtum proverbium innuit: Δειλόν θ' ὁ πλοῦτος καὶ φιλόψυχων κακόν. Experimento denique quotidiano idem discimus. Scitum et illud Satyrici: *Pauca licet portes argenti vascula puri Nocte iter ingressus, gladium contumque timebis, Et motæ ad lunam trepidabis arundinis umbram. Cantabit vacuus coram latrone viator.* SCHOTT. Δειλὸν P. H. Euripid. Phœn. 600.

ἀσφαλίζονται, καὶ κύνας τρέφουσι, καὶ πολλὰς ἑαυτῶν ποιοῦνται A
φυλακάς.

36 [x]Δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδόνιπτρον: [1]Ἐπὶ τῶν ἁρμοδίως τοῖς πράγμασι κεχρημένων.

37 [y]Δεινοὶ [z]πλέκειν τοι μηχανὰς Αἰγύπτιοι: [1]Ἐπὶ τῶν σφόδρα κακουργοτάτων· τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι. B

38 Δελφῖνα πρὸς τρίαιναν εἶς: [1]Ἐπὶ τοῦ ἀδυνάτου διὰ τὸ εὐκίνητον εἶναι. Πρὸς τοὺς οὐ δυναμένους τηρεῖν τὰ διδόμενα ἢ ἔχειν.

39 [a]Δουλότερος [b]Μεσσήνης: [1]Ἐπειδὴ πολλάκις [c]ἀποστάντας τοὺς Μεσσηνίους ἐδουλώσαντο οἱ Λακεδαιμόνιοι, καὶ ἐχρῶντο αὐ- C
τοῖς χαλεπώτερον ἢ τοῖς ἄλλοις δούλοις.

40 [d]Δοῖδυξ αὖ εἶ: [1]Ἐπὶ τῶν μὴ αὐξανομένων φησὶν ὁ Χρύσιπ-
πος, ἀλλὰ καὶ (ἐπὶ τῶν) μικρὸν μενόντων εἴρηται ἡ παροιμία. [1]Ὁ γὰρ δοῖδυξ μικρός ἐστι, καὶ στρογγύλος.

41 Διὸς ἐγκέφαλος: [1]Ἐπὶ τῶν ἡδυπαθούντων ἡ παροιμία τέ- D

[x] Δεξιὸν] Pythagoræ Symbolis hexametron hoc Jamblichus [Symb. 12. p. 338. ed. Kiessl.] annumerat, exponitque actiones honestas tamquam dexteriores primo loco collocandas esse; inutiles autem tamquam sinistras relinquendas et omnino abjiciendas esse. Suidas ex Aristophane, [vid. Dindorf. ad fr. 291.] sine comœdiæ nomine, desumtum ait. Helladius in Chrestom. et Didymus apud Photium nostrum p. 872. [1589.] ex Polemone citant. SCHOTT.

[y] Δεινοὶ] De Ægyptiorum moribus Herodotus libro II. De callidis eorum machinis, quibus hodieque male audiunt, vel unum instar omnium, quod in Exodo legimus Pharaonem Ægypti regem omnibus machinis et Israëliticum populum servitute pressisse, et dimittere vel plagis pluribus appetitum detrectasse. Diogenianus autem et Suidas dictionem dividunt leguntque, πλέκειν τὰς μηχανάς: Æschylus vero [Fr. 299. Dind.] πλέκειν τοὶ μηχανάς. Ideinque Suidas ab Ægyptiorum machinis Αἰγυπτιάζειν pro πανουργεῖν καὶ κακοτροπεύεσθαι exponit. SCHOTT.

[z] πλέκοιντο] πλέκειν τοι Suidas Eustath. Od. ϐ'. p. 1494, 10.

[a] Δουλότερος] Historia est apud Pausaniam Messenicis, et Justinum lib. III. SCHOTT.

[b] Μεσσήνης—Μεσσηνίους] Μεσήνης —Μεσηνίους P.

[c] ἀποστάντας] ἀποστάντες P.

[d] Δοῖδυξ] Eadem Aristophanis interpres in Equitibus [980.] ubi vitiose abest negatio μὴ hinc reponenda. In Eirene vero et Pluto ejusdem comici aperte constat δοῖδυξ pro *pistillo* dici, non pro *cochleari*, ut contra Erasmum evincit Henr. Stephanus. SCHOTT.

τακται. Κλέαρχος δὲ ἐν τῷ πέμπτῳ [c]περὶ βίων φησὶ, τὰ πολυ- A
τελῆ βρώματα παρὰ τοῖς Πέρσαις Διὸς καὶ βασιλέως ἐγκέφαλος
καλεῖσθαι.

42 [f]Δῶρον δ' ὅ τι δῶι τις ἐπαινεῖ: Αὕτη κομμα ἐστὶ χρησμοῦ
τοῦ δοθέντος Μουσκέλλῳ τῷ Ῥυπεῖ, καθ' ὃν δὴ χρόνον Κρότωνα
οὐκ ἐβούλετο οἰκίζειν [g]Σύβαρις, ὡς φησὶν [h]Ἱππεὺς ἐν τῷ περὶ B
χρόνων. Φησὶ δὲ οὕτως ἔχειν τὸν χρησμὸν,

Μούσκελλε βραχύνωτε, παρὲκ θεὸν ἄλλα [h]ματεύων
Οὔδαλα [i]θηρεύσεις· [k]δῶρον δ' ὅ τι δῷ τις, ἐπαίνει.

[c] περὶ βίων] Suspicor scriptum περὶ βασιλέων, ut ex compendiis, ut fit, natum sit mendum. Notum enim *reges κατ' ἐξοχὴν* et *magnos* Persarum reges vocari solitos. Quam in sententiam me Athenæus duxit, qui lib. XII. [p. 514 E.] Clearchi eadem verba commemorat: Κλέαρχος δὲ, inquit, περὶ τοῦ Περσῶν βασιλέως διηγούμενος, ὅτι τοῖς αὐτῷ πορίσασιν ἡδύ τι βρῶμα ἄθλα ἐτίθει, νοῦν οὐκ ἔχων. Τοῦτο γάρ ἐστιν ὁ λεγόμενος, οἶμαι, Διὸς καὶ βασιλέως ἐγκέφαλος. Iterumque eodem libro XII. [p. 529 D.] et Q. Ennius apud Apuleium, Apologia de Magia: *Quid sacrum præterii, cerebrum Jovis pæne supremi, Nestoris ad patriam hic capitur magnusque bonusque.* Affine huic credidit Erasmus *Jovis lac*, depravata versus Euripidei in Cyclope lectione apud Athenæum lib. XIV. [658 C.] deceptus. Ubi non Διὸς γάλα sed βοὸς γάλα legi ibidem animadvertit doctissimus Casaubonus. SCHOTT.

[f] Δῶρον δ' ὅτι δότης] Mendum et hîc in proverbio sustuli, et interpunxi, δῶρον δ' ὅ τι δῷ τις, ἐπαίνει. Suidas enim ad eundem modum, nisi quod ὃ διδοῖ præfert. Strabo lib. VI. [p. 402=377.] Geogr. ut Zenobius, variat tamen in historia, ut et Ovidius lib. XV. Metamorph. atque in oraculi carmine. Cum Achivi jussi essent oraculo Crotonem concedere, missus est Myscellus quidam, qui civitatis futurum locum consideraret. Is cum jam Sybarim ædificatam cerneret, videreturque locus is magis idoneus, repetiit oraculum, num fas esset hanc cum illa condere. Cortina ad hunc respondit modum: Μύσκελλε βραχύνωτε παρὲς σέθεν ἄλλο ματεύων, Κλάσματα θηρεύεις· ὀρθὸν δ' ὅ τι δῷ τις, ἐπαίνει. Ματεύων autem metri necessitate recte Gul. Xylander reposuit, et οὔδαλα pro οὐκ ἄλλα in Zenobio rescribendum. Porro τῷ Ῥυπεῖ, *Rypensi* reddidi ejusdem Strabonis lib. VIII. [p. 561= 593.] auctoritate adductus. Denique affine huic proverbio Dionysii Catonis distichon 20. libri primi: *Exiguum munus cum dat, &c.* Quod felicius quam Planudes, Jos. Scaliger sic reddidit: Εἴ τι τοι ἀκτέανος φίλος εὐτελὲς ἔπασε δῶρον, Δέχνυσαι εὐμενέως, καὶ ἐπαίνεσον εὔφρονι θυμῷ. SCHOTT.

[g] Σύβαρις] Σύβαριν P. H.

[h] ματεύων] μαντεύων P. F.

[i] θηρεύσειν] θηρεύσεις H.

[k] δῶρον δ' ὅ τι δῷ τις] δῶρον τὸ δὴ δότης P. H. F.

43 [l] Ἐγὼ δὲ καὶ σὺ [m] τὸν αὐτὸν ἔλκομεν ζυγόν: Ἐπὶ τῶν A
ὁμοία καὶ παραπλήσια πασχόντων.

44 Ἐγένετο καὶ Μάνδρωνι στκίνη ναῦς: Ἐπὶ τῶν παρὰ
ἐλπίδα καὶ ἀναξίως εὐπραγησάντων, εἶτα θρυπτομένων ἐπὶ τοῖς
παροῦσι. Ναύαρχος γὰρ ὁ [n] Μάνδρων ἐχειροτονήθη πρὸς τὰ ἐν
Ἑλλησπόντῳ [o] ἀνάξιος ὤν· [p] φασὶ δὲ καὶ συκίνης ἄρχειν νηὸς, B
τουτέστιν, εὐτελεστάτης. Τὰ γὰρ σύκινα ξύλα, εὐτελῆ καὶ
ἄχρηστα.

45 [q] Ἐν φρέατι κτνὶ μάχεσθαι: Ἐπὶ τῶν μοχθηρῶς τινὶ προσ-
παλαιόντων, καὶ ἀποφυγεῖν μὴ δυναμένων.

46 [r] Εἰς οὐρανὸν τοξεύεις: Ἐπὶ τῶν διακενῆς πονούντων. C

47 [s] Ἐκ τριχὸς κρέμαται: Ἐπὶ τῶν σφόδρα κινδυνευόν-
των.

48 [t] Ἐκ λύκου στόματος: Ἐπὶ τῶν ἀνελπίστως τὶ λαμβα-
νόντων.

[l] Ἐγὼ δὲ καὶ σὺ] Utitur Plinius in Epistolis, *ex æquo jugum ducere.* Et Horat. libro I. Od. 35. *ferre jugum pariter dolosi.* SCHOTT.

[m] τὸν αὐτὸν] ταὐτὸν Suidas.

[n] Μάνδρων] Μάντωρ H.

[o] ἀνάξιος] ἀνάξιος P.

[p] φασὶ δὲ] φασὶ δὲ καὶ H. P.

[q] Ἐν φρέατι] Est et apud Suidam, cujus auctoritate negationem hîc adjeci, καὶ ἀποφυγεῖν μὴ δυναμένων. SCHOTT. Plato Theæt. p. 165 B. τί γὰρ χρήσῃ ἀφύλτῳ ἐρωτήματι, τὸ λεγόμενον, ἐν φρέατι συσχόμενος. His proverbiis carent P. H. h. l. sed 46 legitur post 59, tum 47 et 48 post 63, deinde 45 post 76.

[r] Εἰς οὐρανὸν τ.] Qui in cælum jacula torquent, suo capiti mala accersunt. Similia dixit Syracides cap. 27. ver. 28. Ὁ βάλλων λίθον εἰς ὕψος, ἐπὶ κεφαλὴν αὐτοῦ βάλλει· καὶ πληγὴ δολία διελεῖ τραύματα. Ὁ ὀρύσσων βόθρον, εἰς αὐτὸν ἐμπεσεῖται· καὶ ὁ ἱστῶν παγίδα, ἐν αὐτῇ ἁλώσεται. Et Psaltes regius Psalmo vii. 16. Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. Tale illud: *In cælum spuere.* SCHOTT.

[s] Ἐκ τριχὸς] Simile *ex filo pendere,* ἀπὸ λεπτοῦ μίτου ἠρτῆσθαι, apud Plut. in Demosth. [p. 860 e. f.] et Synesium [Ep.]. Nota historia Damoclis, cujus capiti Dionysius tyrannus gladium e tolo, filo appensum pendere jussit, recitatque copiose M. Tullius Tusc. III. Horat. lib. III. Odarum, et Persius Sat. III. Idemque Cicero Tusc. V. [14.] Laconis illud Apophthegma apud Plutarch. in Laconicis [p. 234 F.] Οὐ προσέχω, ἔφη, τῇ εὐδαιμονίᾳ ἐκ σχοινίων ἠρτημένῃ, sic fere convertit: *Non optanda quidem fortuna rudentibus apta.* SCHOTT.

[t] Ἐκ λύκου] Horat. Epod. 11. *Vel agna festis cæsa Terminalibus, Vel hædus ereptus lupo.* SCHOTT.

49 [u]Εἰς θεῶν ἅτα ἧθεν: Ἐπὶ τῶν οὐ λανθανόντων ἐφ' οἷς A
ἔπραξαν.

50 Εἰς ἀρχαίας φάτνας: Ἐπὶ τῶν ἀπολαύσεως τινὸς ἐκπεσόν-
των, εἶτα πάλιν ἐπὶ τὴν ἀρχαίαν ἐλθόντων δίαιταν.

51 [x]Εἷς ἀνὴρ, οὐδεὶς ἀνήρ: Παρ' ὅσον ὑπὸ ἑνὸς οὐδὲν κατορ-
θοῦται. B

52 Εἰς πάγας ὁ λύκος: [y]Ἀντὶ τοῦ, εἰς ἠκονημένας μαχαίρας.
Ἐπὶ τῶν εἰς κίνδυνον προῦπτον ἡκόντων.

53 Εἰς μελίττας ἐκώμασας: Παροιμία ἐπὶ τῶν [z]παρὰ δόξαν
κακουμένων ἀθρόως.

54 Εἰ μὴ δύναιτο βοῦν, ἔλαυνε ὄνον: Ἐπὶ τῶν ὃ κατὰ δύνα- C
μιν ἔχουσι πράττειν παρεγγυωμένων.

55 [a]Εἰς ὕδωρ σπείρειν: Ἐπὶ τῶν μάτην πονούντων.

56 Εἰς ἀσθενοῦντας ἀσθενῶν [b]ἐλήλυθα: Ἐπὶ τῶν [c]ὅμοια
καὶ παραπλήσια πασχόντων.

57 [d]Εἴη μοι τὰ μεταξὺ Κορίνθου καὶ Σικυῶνος: Ἐπὶ τῶν D
κάλλιστα καὶ λυσιτελέστατα ἑαυτοῖς εὐχομένων. Ἐπεὶ γὰρ
ἐστὶ τὰ μεταξὺ τούτων τῶν πόλεων εὐφορώτατα χωρία.

58 [e]Ἐμαυτῷ βαλανεύω: Παροιμία, οἱονεὶ ἐμαυτῷ διακονήσω.

[u] Εἰς θεῶν ἅτα] Idem Horatius lib. I. Epist. 19. *Et Jovis auribus ista Servas.* SCHOTT.

[x] Εἷς ἀνὴρ] Affine Euripideum illud: Εἷς ἀνὴρ οὐ πάνθ' ὁρᾷ. Quod et Apostolius in adagiis numerat, nosque vulgo usurpamus, *Plura oculos quam oculum cernere.* SCHOTT. Vid. Eustath. Il. ζ'. p. 647, 20. Schol. Hom. Il. π'. 550.

[y] Ἀντὶ τοῦ] Supervacaneum hoc videatur, quando laqueis etiam strangulari constat lupos, ut agri ac pecoris vastatores; ac suspendi solitos. SCHOTT. *ἀντὶ—μαχαίρας* om. B.

[z] παρὰ δόξαν] παραδόξως Eustath. Il. μ'. p. 897, 57.

[a] Εἰς ὕδωρ] Adhibet in ingratos Theognis Gnomographus [v. 106.]: Ἴσον καὶ σπείρειν πόντον ἄλλῃς πολιῆς. Nec dissimile illud Scholiastæ Aristophanis, κατὰ θαλάττης σπείρεις. SCHOTT.

[b] ἐλήλυθα] ἐλήλυθεν H. F.

[c] τὰ ὅμοια] τὰ om. P. cum Suid.

[d] Εἴη μοι] Habet hoc, veluti oraculo pronuntiatum, Athenæus lib. V. Δειπνοσ. [p. 219 A.] Eustathius quoque in lib. II. Iliados, et Aristophanis interpres in Avib. [969.] Vatic. *εὐφορωτάτη χώρα.* SCHOTT. Vid. Schol. Il. β'. 572.

[e] Ἐμαυτῷ] Ambigua adagii interpretatio nata e vocum affinitate *βαλάνου*, qui *glans* est, et *βαλανείου*, quod *balneum* significat. Adhibet Aristophanes *ἐν εἰρήνῃ* [1103.] Ἀλλ' εἰ ταῦτα δοκεῖ, κἀγὼ

Λέγεται δὲ ὅταν ὁ βαλανεὺς ναθρεύηται, καὶ ἑαυτῷ τὶς λαμβάνῃ A
τὴν ἀρύταιναν καὶ διακονῇ· ἢ ἀπὸ τῶν τὰς βαλάνους ἐγκρυβόντων
εἰς πῦρ.

59 [f]Ἐν Καρὶ τὸν κίνατνον: Ἐπὶ τῶν εὐτελέσι τὰς πείρας
ποιουμένων. Κάρες γὰρ ἐμισθοφόρησαν πρῶτοι. Ἄλλοι τὴν
παροιμίαν ἐπὶ τῶν εὐκαταφρονήτων. Φασὶ γὰρ τοὺς Κάρας πρώ- B
τους ἀνθρώπων μισθοῦ στρατεύσασθαι. Τοὺς οὖν τὸ ἀργύριον δι-
δόντας προτάττειν τοὺς Κάρας ἑαυτῶν, ὡς μέλλοντας ἀποθνήσκειν
ὑπὲρ τῶν μισθουμένων. Εἴρηται οὖν διὰ τοῦτο ἡ παροιμία.

60 [g]Ἐν κοτύλαι φέρει: Παιδιᾶς εἶδος. Ὁ γὰρ φέρων τινὰ
ἐν κοτύλῃ, ἐποίει ὀπίσω τὰς χεῖρας, καὶ ὁ αἰρόμενος [h]*ἐνετίθει τὰ* C
γόνατα, καὶ οὕτως ἐβαστάζετο.

61 [i]Εἰς Τροφωνίου μεμάντευται: Ἐπὶ τῶν ἀγελάστων καὶ
[k]*συνωφρυωμένων. Φασὶ γὰρ τοὺς* [l]*εἰς Τροφωνίου καταβαίνοντας*
ἀφαιρεῖσθαι τὸν γέλωτα.

ἑαυτῷ βαλανεύσει. Ubi enarrator Græcus bifariam quoque explicat. Suidas autem *τὴν βυταίνην*, ubi interpres Germanus, cetera eruditus, *scalprum* reddidit, et mox *ἐγκρυπτόντων*, idemque Scholiastes *κρυπτόντων*. Zenobius vero *ἐγκρυβόντων*, quod antique dictum a *κρύβω*, *ἀντὶ κρύπτω*. Sic et illud hîc erat vitiosum *ἀρυτάναν* [sic P.] pro *ἀρύταιναν*, quam in poculorum generibus cyatho adnumerat Athenæus lib. X. Vide supra Centuria II. adagio 41. *Ἄλλην δρῦν βαλάνιζε*. SCHOTT.

[f] *Ἐν Καρὶ*] Usus frequens hujus adagii Platoni in Euthydemo, [p. 285 C.] et Lachete, [p. 187 B.] Aristidi in Panathenaica, aliis. *Cares* autem bellicosi, teste Mela, Strabone, ac Theocrito. Cicero quoque pro L. Flacco [c. 27.] *Quid*, inquit, *de tota Caria? nonne hoc vestra voce vulgatum est: si quid cum periculo experiri velis, in Caria potissimum esse faciendum?* ubi Erasmus *in Care* recte leg. vidit. Vat. *πράττειν* loco *προτάττειν* habet. SCHOTT. Vid. Schol. Platon. p. 93. Schol. Aristid. p. 244.

[g] *Ἐν κοτύλῃ*] Ludi hoc genus puerile *κοτύλης* copiose explicat Julius Pollux lib. IX. [122.] Athenæus libro XI. [p. 479 A.] Eustathius in Homerum [Il. ε'. p. 550.] Dictum videtur de iis qui aliena pascuntur liberalitate: quale illud: *Equus me portat, alit Rex.* SCHOTT.

[h] *ἐνετίθει*] *ἐτίθει* H.

[i] *Εἰς Τροφωνίου*] De hoc Trophonii specu multa Herodotus, et Aristophanis enarrator in Nubibus [v. 500.] quos diligenter Desiderius exscripsit. Meminit M. Tullius Tusculana prima, et De Natura Deorum lib. III. Adscribam Heliodori locum lib. II. Æthiop. *Καὶ ἐν Τροφωνείου λόγος θεοφωνεῖν τοὺς ὑπελθόντας.* Meminit et in *Νεκρικοῖς* Lucianus [3. T. I. p. 338.] SCHOTT.

[k] *συνωφρυωμένων*] *συνωφρυωμένων* H. P.

[l] *ἐν Τροφωνίου*] *εἰς Τροφωνίου* P.

62 Ἐκτὸς πηλοῦ πόδας ἔχεις: Ἐπὶ τῶν ἔξω κινδύνου καθε- A
στώτων· οἷόν ἐστι καὶ τὸ, [m] Ἔξω βέλους.

63 [n] Ἐν ὅλμῳ ετνάσω: Οἱ μὲν ὅλμον μάντιν φασί· οἱ δὲ, τοὺς ἐν ὅλμῳ κοιμηθέντας μαντικοὺς γίνεσθαι, ὡς καὶ παροιμίαν γενέσθαι. Καὶ Ἀριστοφάνης ὁ γραμματικὸς φησὶν, ὡς οἱ ἐν ὅλμῳ κοιμηθέντες μαντικοί· καὶ τοὺς τρίποδας τοῦ Ἀπόλλωνος B
ὅλμους καλεῖσθαι, καὶ Ἀπόλλων ὑπὸ [o] Σοφοκλέους ἔνολμος.

64 [p] Ἐν πέντε κριτῶν γοίνασι κεῖται: Παροιμιῶδες, οἷον, ἐν ἀλλοτρίᾳ ἐξουσίᾳ εἰσίν. Εἴρηται δὲ ἡ παροιμία, παρ' ὅσον πέντε κριταὶ τοὺς κωμικοὺς ἔκρινον, ὡς φησὶν Ἐπίχαρμος. Σύγκειται οὖν παρὰ τὸ Ὁμηρικὸν,

Θεῶν ἐν γούνασι κεῖται. C

Ἐπειδὴ οἱ κριταὶ ἐν τοῖς γόνασιν εἶχον, ἃ νῦν εἰς γραμματεῖα γράφεται.

65 [q] Ἐν πίθῳ τὴν κεραμείαν μανθάνω: Παροιμία ἐπὶ τῶν

[m] Ἔξω βέλους] De hoc infra adag. 89. Argutatur enim hîc H. Stephanus, dum simile esse negat. At non per omnia quadrare necesse est. SCHOTT.

[n] Ἐν ὅλμῳ] Meminit adagii et Suidas. De ὅλμῳ Aristophanis interpres initio Pluti, ubi de tripode Apollinis. Athenæo poculi genus est, alias mortarium. Ἐνόλμου meminit et Apollonius Rhodius. SCHOTT.

[o] Σοφοκλέους] Fr. n. 875. Dind.

[p] Ἐν πέντε] Plato lib. XI. De Legibus [p. 916C.] quinque viralis judicii sic meminit: Ἐν πέντε δὲ τῶν νομοφυλάκων τοῖς νεωτάτοις εἶναι τὴν κρίσιν. Hesychius: Πέντε κριταὶ, τοσοῦτοι τοῖς κωμικοῖς ἔκρινον, οὐ μόνον Ἀθήνησιν, ἀλλὰ καὶ ἐν Σικελίᾳ. Sic enim locum corruptum emendavit Io. a Wouwere, Belga, Polymathiæ cap. 16. De tragicorum vero judicibus meminit Plutarchus in Cimone [p. 483 E.] quem vide, et Suidam atque Agellium libro X. cap. 18. et Sueton. Claudio cap. 11. item Scholiasten Horatii ad illud lib. I. Sat. x. *Certantia judice Tarpa.* SCHOTT.

[q] Ἐν πίθῳ] Ad priorem sensum Plato respexit in Lachete [p. 187 B.]: Σκοπεῖν χρὴ μὴ οὐ ἐν τῷ Καρὶ ἡμῖν ὁ κίνδυνος κινδυνεύηται, ἀλλ' ἐν τοῖς υἱέσι τε καὶ ἐν τοῖς τῶν φίλων παισὶ, καὶ ἀτεχνῶς τὸ λεγόμενον κατὰ τὴν παροιμίαν ἡμῖν συμβαίνῃ, ἐν πίθῳ ἡ κεραμεία. Ad Dicæarchi vero sensum Gregorius Theologus Apologia de fuga: [I. p. 20 D.] Ὡς τό γε παιδεύειν ἄλλους ἐπιχειρεῖν, πρὶν αὐτοὺς ἱκανῶς παιδευθῆναι, καὶ ἐν πίθῳ τὴν κεραμείαν, τὸ δὴ λεγόμενον, ἐν ταῖς τῶν ἄλλων ψυχαῖς ἐκμελετᾶν τὴν εὐσέβειαν, λίαν ἐμοὶ φαίνεται ἀνοήτων. Ut sit *Figulinam in dolio exercere*, simile illi proverbio: *Quam quisque norit artem in hac se exerceat.* Et, *Spartam quam nactus es, hanc orna.* Qui sensus magis etiam placuit Simplicio, Comment. in Epictetum, his verbis: Καὶ οὐ τῶν μικρῶν, ἀλλὰ τῶν μικροτάτων, ἵνα μὴ κατὰ τὴν παροιμίαν ἐν πίθῳ τὴν κερα-

τὰς πρώτας μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ εὐθέως τῶν A
μειζόνων. Ὡς εἴ τις μανθάνων κεραμεύειν, πρὶν μαθεῖν πίνακας
ἢ ἄλλό τι τῶν μικρῶν πλάττειν, πίθῳ ἐγχειροίη. Δικαίαρχος δὲ
φησὶν ἕτερόν τι δηλοῦν τὴν παροιμίαν, οἱονεὶ τὴν μελέτην ἐν τοῖς
ὁμοίοις ποιεῖσθαι, ὡς κυβερνήτης ἐπὶ τῆς νηὸς, καὶ ἡνίοχος ἐπὶ
τῶν ἵππων. B

66 [r] Ἑλλάφειος ἀνήρ: Ἐπὶ τοῦ δειλοῦ, ἐκ μεταφορᾶς τοῦ ζώου. Δειλὸν γὰρ ἡ ἔλαφος.

67 Ἐλέφας μὴν οὐχ ἁλίσκει: Ἐπὶ τῶν τὰ μικρὰ καὶ φαῦλα ὑπερορώντων.

68 Ἐλέφαντα ἐκ μυίας ποιεῖν: Ἐπὶ τῶν τὰ ἐλάχιστα ἐπαι- C
ρόντων τῷ λόγῳ καὶ μεγαλοποιούντων. [s] Λουκιανὸς Μυίας ἐγκωμίῳ·
Μὴ καὶ δόξω, κατὰ τὴν παροιμίαν, ἐλέφαντας ἐκ μυίας ποιεῖν.

69 Ἐλεύθεραι αἶγες ἀρότρων: Ἐπὶ τῶν βάρους τινὸς ἢ κακῶν ἀπηλλαγμένων.

70 [t] Ἔνεστι κἂν μύρμηκι χολή: Παρεγγυᾷ μὴ δὲ τῶν μικρῶν D
καταφρονεῖν.

71 [u] Ἐν σκότῳ ὀρχεῖσθαι: Ἐπὶ τῶν ἀμάρτυρα μοχθούντων, ὧν τὸ ἔργον ἀφανές.

72 Ἐν θέρει τὴν [x] χλαῖναν κατατρίβεις: Ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων. E

μείαν μελετῶμεν. Et Theoni procœmio Progymnasmatum: Καὶ τὸ πάντων ἀγροικότατον, ὅτι οὐδὲ οἷς προσῆκόν ἐστιν ἐγγυμνασάμενοι ἐπὶ τὰς δικανικὰς καὶ δημηγορικὰς ἴενται ὑποθέσεις, τὸ δὴ λεγόμενον κατὰ τὴν παροιμίαν ἐν πίθῳ τὴν κεραμείαν μανθάνοντες. SCHOTT. Vid. Schol. Platon. p. 94. Platonis Gorg. p. 514 E. c. n. Heindorfii. Eustath. Il. α'. p. 1167, 4.

[r] Ἑλάφειος] Homericum videatur adagium. Sic enim Achilles excandescens in Agamemnonem incurrit, Iliad. α'. Οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο. SCHOTT.

[s] Λουκιανὸς] c. ult.

[t] Ἔνεστι κἂν μύρμηκι] Suidas adjecit κἂν σίρφῳ, quem interpres Latine *culicem* vertit, Henr. Stephanus *cossum*. SCHOTT. Vid. Schol. Aristoph. Vesp. 351.

[u] Ἐν σκότῳ] Lucianus in Hermotimo [c. 49.] Ἐν σκοτῷ, φασὶν, ὀρχούμεθα. SCHOTT.

[x] χλαῖναν] *Lænam*, quam Græci χλαῖναν vocant, Nonius Marcellus vertit; *pœnulam* alii et *chlamydem*, quæ hiemis vestis est, et peregrinantium. Philemon Comicus apud Laërtium [VI. 87.] Crateti, quod æstate pallium crassum, hieme laceram gestaret tunicam, objecit. SCHOTT.

73 [v]Ἐνείσιν ἐν ἀειδοῖσι κἄνανδροι λόγοι: [v]Ὅτι φησὶ καὶ οἱ A
λόγοι ταῖς ψυχαῖς [y]συσχηματίζονται καὶ τυποῦνται.

74 [z]Ἐν ἄλλοι δρασκάζεις: Ἀντὶ τοῦ, ἐν ἄλῳ κρύπτῃ. Ἐπὶ
τῶν μὴ δυναμένων λαθεῖν, παρ' ὅσον περίοπτός ἐστιν ἡ ἅλως.

75 [a]Ἐνδέτεταί μοι τὴν λεοντήν: Ἐπὶ τῶν μεγάλοις ἐγχει-
ρούντων πράγμασιν. Ἐκ μεταφορᾶς τοῦ Ἡρακλέους. B

76 [b]Ἐνδυμίωνος ὕπνος: Ἐπὶ τῶν πολλὰ κοιμωμένων. Ἐν-
δυμίωνος γὰρ [c]κάλλει διενεγκόντος ἠράσθη Σελήνη, καὶ Ζεὺς
αὐτῷ δίδωσι ταύτης αἰτησαμένης ὃ βούλεται ἑλέσθαι· ὁ δὲ αἱ-
ρεῖται κοιμᾶσθαι διαπαντὸς ἀθάνατος καὶ ἀγήρως μένων. Ἐκ
τούτου τὴν παροιμίαν γενέσθαι φασί. C

77 [d]Ἐν δὲ δικοστασίῃ καὶ Ἀνδροκλέης πολεμαρχεῖ: Ἐπὶ
τῶν εὐτελῶν τῶν διὰ περιπέτειαν τινὰ τιμῆς ἀξιουμένων. Τοιαύτη
δὲ ἔστι καὶ ἡ λέγουσα·

Ἐν γὰρ ἀμηχανίῃ καὶ καρκίνος ἔμμορε τιμῆς.
[e]ἐν δὲ δικοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς. D
[f]καὶ γὰρ ἐν ἀμούσοις καὶ κορυδὸς φθέγγεται.

[y] *συσχηματίζονται*] οὐ σχηματίζεται H.

[z] *Ἐν ἄλῳ δρασκάζεις*] Refert et Suidas, sed utrobique δρακάζεις vitiose scriptum cernas, pro δρασκάζεις, quod *occultari* est, et *latitare*. SCHOTT. δρακάζεις P. H. F. et 2 MSS. Suidæ.

[a] *Ἐνδύετε*] Ortum habet proverbium a Cumano asino, de quo lepidus apud Lucianum in Piscatore [c. 32.] apologus extat, qui et frequenter proverbium adhibet, in Pseudologista [c. 3.] et Philopseude [c. 5.] ut et Eusebius in Hieroclem. Nota et altera Herculis fabula, leonis pelle atque exuviis cum clava et arcu inferos, ut Cerberum educeret, petente. Quod ἐν Βατράχοις, in Baccho molli Deo irridet Aristophanes, et in Menippo suo idem Lucianus, Deorum hominumque irrisor. SCHOTT. v. Platon. Crat. p. 411 A. *Ἐνδύεται* B. cum Suida. Mox τοῦ om. H.

[b] *Ἐνδυμίωνος*] Diogenianus, Suidas, et Apostolius amplius habent, Ἐνδυμίωνος ὕπνου καθεύδεις. Utitur proverbio Aristoteles lib. X. [c. 8.] Ethic. Nicomach. et Cicero Tuscul. I. ac lib. V. De Finibus bon. et malorum. SCHOTT.

[c] *κάλλει—μένων*] Ex Apollodoro I. 7. 5.

[d] *Ἐν δὲ δικοστασίῃ*] Eadem Suidas, Diogenianus, Apostolius, Scaliger metri lege ut Suidas et Vatic. Ἀνδροκλέης. Diogen. vero et Apostolius Ἀνδροκλῆς. Qui Zenobio Ἀνδροκλείδης veluti patronymici forma est. SCHOTT. Zenobii MSS. Ἀνδροκλείδης, edidi tamen Ἀνδροκλέης cum B.

[e] *ἐν δὲ δικοστασίῃ*, &c.] Est apud Plutarch. in vita Niciæ [p. 530 C.] in comparatione Lysandri et Syllæ [p. 475 F.] et libello περὶ φιλαδελφίας [p. 479 A.] SCHOTT.

[f] *καὶ γὰρ ἐν ἀμουσίαις*] Corri-

78 g Ἐν τριόδοι εἰμί: Ἐπὶ τῶν ἀδήλων πραγμάτων. Ἐπειδὴ A
γὰρ ὁ ἐν τριόδῳ γενόμενος, οὐκ οἶδε ποίᾳ χρήσεται ὁδῷ.

79 h Ἐντὸς ἑβδόμης: Ἀπείρητο Ἀθήνῃσι i στρατείαν ἐξάγειν
πρὸ τῆς τοῦ μηνὸς ἑβδόμης.

80 k Ἐπακτὸς ὅρκος: Οὐκ ἐγχώριος, ἀλλ' ἀπὸ ξένης ἐπηγμέ-
νος· ἢ ὃν ἕτερος ἐπάγει, οὐκ αὐθαίρετος. B

81 Ἐπειοῖ δειλότερος: Οὕτως ἐλέγετο l Κρατῖνος ὁ κωμικός·
ἴσως διὰ τὸ ταξιαρχῆσαι τῆς Οἰνηΐδος φυλῆς καὶ δειλότερος φα-
νῆναι· καὶ γὰρ ὁ Ἐπειὸς δειλὸς ἦν.

82 m Ἐπὶ τὰ Μανδραβόλου: Αὕτη τέτακται κατὰ τῶν ἐπὶ τὸ
χεῖρον προκοπτόντων ἀεί. Ὁ γὰρ Μανδράβολος οὗτος εὑρὼν ποτὲ C
θησαυρὸν ἐν Σάμῳ, [n πρῶτον] πρόβατον χρυσοῦν ἀνέθηκε τῇ Ἥρᾳ·
τῷ δὲ δευτέρῳ ἔτει ἀργυροῦν, καὶ τῷ τρίτῳ χαλκοῦν.

gend. καὶ, ἐν γὰρ ἀμούσοις Καὶ κέρυδος κύκνου φθέγγετ' ἀοιδότερος ex Anthol. II. 24, 5. v. Diogen. IV. 55, 56. VALCK. quem vid. ad Eurip. Hippol. 986. ἀμούσοις B. Suid.

g Ἐν τριόδῳ] Suidas λογισμῶν addit. Mercurius quoque *biceps et triceps* in biviis collocari solitus, ut viæ dux. Theognis ver. 907. Ἐν τριόδῳ δ' ἕστηκα, δύ' εἰσὶ δὲ πρόσθεν ὁδοί μοι· Φροντίζω τούτων ἥντιν' ἴω προτέρην. Plato lib. VII. de Legibus [p. 799 C.] Καθάπερ ἐν τριόδῳ γενόμενος. SCHOTT.

h Ἐντὸς ἑβδόμης] Suidas eadem et Hesychius. Erasmus affine videri putat ἕβδομος βοῦς. Tu vide Fabium Paulinum libro V. Hebdomadum, cap. 4. SCHOTT.

i στρατείαν] στρατιὰν Suid.

k Ἐπακτὸς] Eadem Diogenianus, Suidas, Hesychius, et Etymologicum. Tria quoque juramenti genera numerant jurisconsultorum filii: Ἐπώμοτον, κατώμοτον, ἐπακτόν. SCHOTT.

l Κρατῖνος] Vid. Runkelii vitam Cratini p. 2. Mox vulg. Οἰνεΐδος.

m Ἐπὶ Μανδραβόλου] Amplius Apostol. cum Vatic. Ἐπὶ Μανδραβόλου χωρεῖ τὸ πρᾶγμα; qui et Μανδράβολας per primam inflectit: hîc Μανδράβολος est, et paulo aliter rem commemorat, ut cum Diis anniversaria vovisset jurejurando sacra, primo anno decem boves mactarit, altero novem, deinde octo, et sic deinceps jurisjurandi violati reus sit factus. Ephorum etiam hujus auctorem facit, et γεωφάνιον cum Suida nominat, quem θησαυρὸν Zenobius. Et Diis non Junoni Samiæ dedicasse ovem auctor est Diogenianus. Junius Hadrianus ex Æliano lib. XII. Animalium, tertio pedatu proverbium explanat Centuria V. adag. 83. in eos qui inconsulta temeritate aliquid offerrent. Adhibet autem Lucianus lib. De mercede servientibus [c. 21.], et Alciphron in Epistolis [I. 9.] Simile illud Menedemi apud Plutarchum [II. p. 81 E.] qui diceret multos Athenas venire studii causa, principio sapientes, deinde philosophos, postea rhetoras, postremo idiotas evadere. SCHOTT. Ἐπὶ τὰ Μανδ. P. H.

n πρῶτον om. P. H. F.

83 [o] Ἐρεβίνθειος Διόντσος: Παροιμία ἐπὶ τῶν μηδενὸς ἀξίων. A

84 [p] Ἐρήμη δίκη: Ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν κρίσιν καταδικασθῇ.

85 Ἑρμώνειος χάρις: Πελασγοὶ τινὲς τὴν Λῆμνον οἰκοῦντες ἦλθον ἐν ναυσὶν [q] εἰς Βραύρωνα τῆς Ἀττικῆς, καὶ τὰς γυναῖκας ἐκεῖθεν ἥρπασαν. Λοιμῷ δὲ περιπεσόντες προσετάχθησαν δίκας B διδόναι τοῖς Ἀθηναίοις, καὶ οὕτως ἀπαλλαγήσεσθαι τοῦ λοιμοῦ. Κελευόντων δὲ τῶν Ἀθηναίων ἐκλιπεῖν τὴν Λῆμνον εἶπον οἱ Πελασγοὶ, Εἴ τις αὐθημερὸν Ἀθήνηθεν Βορέᾳ χρησάμενος καταπλεύσειεν εἰς τὴν Λῆμνον, ἐκστήσονται τῆς χώρας αὐτῶν. Ὕστερον δὲ Δαρείου τοῦ Πέρσου περὶ Θρᾴκην ὄντος, καὶ πάντα χειρουμένου C τὰ πέριξ, Μιλτιάδης Ἀθηναῖος ἐκ τῆς Χερρονήσου ἀφεὶς ἐς τὸ πέλαγος καταλαμβάνει τὴν Λῆμνον, καὶ πρὸς τοὺς Πελασγοὺς ἔφη, Βορέᾳ χρησάμενος αὐθημερὸν ἥκειν. Ἕρμων δὲ βασιλεύων τῶν Πελασγῶν ἐξέστη τῆς χώρας, τῇ μὲν ἀληθείᾳ τοῦ Δαρείου τὴν δύναμιν φοβηθείς, προσποιησάμενος δὲ ἑκὼν διδόναι τοῖς Ἀθη- D ναίοις τὴν χάριν. Εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν κατὰ ἀνάγκην τισὶ προσποιουμένων χαρίζεσθαι.

86 [r] Εἰς Μακάρων νήσους: Ὁ Ἡσίοδος φησὶ Μακάρων νήσους εἶναι περὶ τὸν Ὠκεανὸν, κἀκεῖ τοὺς εὐδαίμονας οἰκεῖν ὑπὸ Κρόνου βασιλευομένους. Ὅθεν ἐπὶ τῶν μακαρίων εἰρῆσθαι τὴν παροι- E μίαν.

o Ἐρεβίνθειος] De cerevisia Erasmus e Juliani Epigrammate exponit, qui Cerealis potius quam Bacchicus potus est. Adagii meminit Suidas et Hesychius. SCHOTT. Ἐρεβίνθινος Photius et Suidas, et sic ni fallor B.

p Ἐρήμη] Jurisconsulti composita dictione cum in Pandectis, tum in Codice Justinianeo, *Eremodicium* nominant, cum altera parte absente fertur sententia, ut in Pandectas Budæus annotat. et affini propemodum significatione *Prævaricari*, et illud infra ἑτερομάλως. Ἐρήμην vero hoc sensu extulit Plato in Apologia [p. 18 C.], et Lucianus in Toxaride, et Jove Tragœdo [c. 25.] De Promissione deserta disserit Alciatus lib. II. Parergon, cap. 27. SCHOTT.

q εἰς Βαίβρωνα] Herodotus lib. IV. *Brauronem* vocat Atticæ vicum. De Miltiade vero Probus Æmilius, seu potius Corn. Nepos, aliter paulo gestæ rei historiam commemorat: paucioribus vero Suid. et Hesych. SCHOTT. Restitui Βραύρωνα ex Herodot. VI. 138.

r Εἰς Μακάρων] Diverso ab hoc sensu supra, Βάλλ' ἐς μακαρίαν, pro in rem malam: quo et sequens pertinet proverbium. SCHOTT.

87 [s] Ἐς κόρακας: Ἐν Θεσσαλίᾳ τόπος ἐστὶ Κόρακες, ὅπου τοὺς A κακούργους ἔβαλλον· ὅθεν ἡ παροιμία. Μέμνηται δὲ ταύτης Μένανδρος συνεχῶς. Λέγουσι δὲ, ὅτι Βοιωτοῖς Ἄρνην ποτὲ διοικοῦσι προείρητο ὑπὸ τοῦ θεοῦ ἐκπεσεῖσθαι τῆς χώρας λευκῶν κοράκων φανέντων. Νεανίσκοι δέ ποτε μεθυσθέντες, καὶ συλλαβόντες κόρακας, γυψώσαντες, ἀφῆκαν πέτεσθαι· ἰδόντες δὲ οἱ B Βοιωτοὶ ἐταράχθησαν, ὡς τῆς μαντείας λαβούσης τὸ τέλος. Καὶ φοβηθέντες οἱ νεανίσκοι τὸν θόρυβον, φυγόντες, ᾤκησαν τινὰ τόπον, ὃν ἐκάλεσαν Κόρακας. Μετὰ δὲ ταῦτα ἐκβαλόντες τοὺς Βοιωτοὺς οἱ Αἰολεῖς, ἔσχον τὴν Ἄρνην οἰκείαν οὖσαν, καὶ τοὺς ἁμαρτάνοντας μεθιστᾶσιν εἰς τοὺς Κόρακας καλουμένους. C

88 [t] Ἑτερομόλιος δίκη: Εἰς ἣν ἀντίδικοι οὐκ ἦλθον.

89 [u] Ἔξω βελῶν καθῆσθαι: Παροιμία παραινοῦσα μακρὰν ἑαυτὸν τῶν βελῶν τῶν ἐναντίων ποιεῖν.

90 [v] Ἔκητι Συλοσῶντος [x] εὐρυχωρίη: Συλοσῶν Σάμιος φίλος ἐγένετο Δαρείῳ τῷ Περσῶν βασιλεῖ, καὶ δι' αὐτοῦ τὴν ἐν Σάμῳ D δυναστείαν παρέλαβε, τελευτήσαντος Πολυκράτους. Ἐπεὶ δὲ

[s] Ἐς κόρακας] Affine huic adagium supra Cent. II. adag. Βάλλε εἰς κόρακας. Et inf. Σκορακίζειν. Aristophanes sæpe usurpat, in Pluto [782.] ac Nubibus [134.] ubi ejus enarrator paulo aliter hanc refert historiam. Fides penes auctorem esto. SCHOTT. Hunc ipsum locum affert Schol. ad Nub. a λέγουσι δὲ usque ad finem. Vid. Wessel. Diod. Sic. XIX. 53.

[t] Ἑτερομόλιος] Totidem hæc verbis Diogenianus et Suidas, nisi quod in Aldi editione λίκη pro δίκη hîc lego. In Hesychio vitiose ἑτερόμηνος δίκη, forte pro illo, quod apud eumdem est Suidam, ἑτεραλκὴς νίκη. Affine huic supra adag. 84. ἐρήμη δίκη. SCHOTT.

[u] Ἔξω βελῶν] Utuntur frequenter Græci, ἐντὸς τοῦ βέλους, καὶ ἔξω τῶν βελῶν. Lucianus adhibet frequenter, et Historici Latini, ut Q. Curtius: *Extra teli jactum esse aciem.* Homerus Ἰλ. ξ'. [130.] Ἐκ βελέων, μήπου τις ἐφ' ἕλκεϊ ἕλκος ἄρηται. Contrarium vero ἐντὸς τοῦ βέλους. Apud eundem Lucianum in Baccho, et Virg. XI. Æn. 608. *Jamque intra jactum teli progressus uterque.* Vatic. παραινεῖ ἔξω τῶν κακῶν γενέσθαι. SCHOTT.

[v] Ἔκητι Συλ.] Meminit historiæ et Strabo lib. XIV. Geographiæ, qui et alteram refert de chlamyde Dario oblata, quod et Herodotus narrat lib. III. et Ælianus lib. IV. Variæ historiæ cap. 5. ac de Latinis Val. Maximus lib. V. cap. 2. unde et alterum natum proverbium, ἡ Συλόσωντος χλαμὺς ἢ χλανὶς, apud Diogenianum, et in Plutarchi Collectan. SCHOTT.

[x] εὐρυχωρία] εὐρυχωρίη B. cum Strabone XIV. p. 945=915.

πικρῶς καὶ χαλεπῶς ἦρχεν, ἐκλιπόντες τὴν νῆσον οἱ πλείους A
μετῴκησαν. Ὅθεν ἡ παροιμία.

91 Εἰς τὸ δέον: Περικλῆς, ὡς φασὶν, ἔδωκε χρήματα τῷ βα-
σιλεῖ τῶν Λακεδαιμονίων Πλειστοάνακτι, καὶ συνέπεισεν αὐτὸν
ἀναχωρῆσαι ἐκ τῆς Ἀττικῆς ἐπὶ πολέμῳ προαχθέντα. Διδοὺς οὖν
λόγον τῶν χρημάτων μετὰ ταῦτα τοῖς Ἀθηναίοις, καὶ μὴ θελήσας B
φανερῶς λογίσασθαι, εἶπεν, Εἰς δέον ἀνήλωσα τοσάδε τάλαντα.

92 [z]Εἰς [a]Ἀφάννας: Συβαρίται νίκην τὸν θεὸν ᾐτοῦντο κατὰ
Κροτωνιατῶν, παρόντων ἐκείνων. Ἑνὸς δὲ τῶν Κροτωνιατῶν
χλευάσαντος, καὶ εἰπόντος, Ὅτι τεύξεσθε ταύτης ἐν Ἀφάνναις,
τὴν πρόρρησιν τοῦ θεοῦ ἐθαύμασαν. Λέγεται δὲ ἡ παροιμία ἐπὶ C
τῶν δοκούντων ἀνυποστάτων εἶναι.

93 [b]Εὐμεταβολώτερος κοθόρνου: Κόθορνός ἐστιν ὑποδήματος
εἶδος ἐφαρμόζοντος καὶ δεξιῷ καὶ ἀριστερῷ ποδὶ, ὅθεν καὶ Θηρα-
μένην, τὸν ἐπὶ τῶν λ', Κόθορνον ἐκάλουν οἱ Ἀθηναῖοι. Ἐπὶ τῶν
συστρεφομένων οὖν συνεχῶς ἡ παροιμία εἴρηται. D

94 Ἔνιοτε ὁ σφάκτης: Αὕτη ἡ παροιμία προηνέχθη ἀπὸ τοῦ

[y] Πλειστιάνακτι verti ac reposui (quomodo et Gilb. Cognatum edidisse post comperi) pro illo corrupto ac mutilo Ἀστυανάκτῃ, ex Thucydide lib. V. Plutarcho in Pericle, [p. 164 C.] et Aristophanis enarratore ἐν Νεφέλαις, [857.] cujus verba cum quia Erasmi acumen fugerunt, tum quia lucem loco adferent, adscribere non pigebit: Περικλῆς τοῖς Ἐφόροις Λακεδαιμονίων Κλεάνδρῳ καὶ Πλειστιάνακτι χρήματα δέδωκεν ὑπὲρ προδόσεως. Καὶ τούτων ἀπαιτούμενος ὑπὸ τῆς πόλεως λόγον, οὐκ ἀξιῶν ἑαυτόν τε καὶ τοὺς Λακεδαιμονίους καταισχύνειν, ἔλεγεν, Εἰς τὸ δέον ἀνήλωσα. Τοῦτο δὲ γνόντες Λακεδαιμόνιοι, τὸν μὲν Κλεανδρίδην ἐφώνευσαν, τὸν δὲ Πλειστιάνακτα δεκαπέντε τα-λάντοις ἐζημίωσαν, οἰηθέντες αὐτοὺς διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς δωροδοκήσαντας ἐκ τῆς Ἀττικῆς ἀνα-χωρῆσαι. SCHOTT. Ἀστυάνακτι P. ἀστυάνακτη H. Πλειστοάνακτι scripsi.

